Ὧραι τῆς ἀειπαρθένου

Μαρίας καὶ ἄλλος ῥωμαϊ-

κῆς αὐτῶν.

Ἐνετίησιν. αχιδ.

Παρὰ ἐπιτυπωμένης κρονῦν.

πρὸς αἴ. Μάρκον. ἐπὶ ἀγγέλου

... Ἀντωνίου Μητοῦ. ἡ [illegible].

1614.

Ὧραι τῆς ἀειπαρθένου Μαρίας κατὰ τὸ ἔθος τῆς ῥωμαικῆς αὐλῆς.

Ἑπτὰ ψαλμοὶ τῆς μετανοίας.

Horæ beatiss. uirginis secũdum consuetudinem romanæ curiæ.

Septem psalmi pœnitentiales cũ lætaniis & orationibus.

P.G. Camaldulense [illegible] Argentin



Ἀκολουθία εἰς τὰς ὥρας τῆς ἀειπαρθένου Μαρίας κατὰ τὸ ἔθος τῆς ῥωμαϊκῆς αὐλῆς.

Εἰς τὸν ὄρθρον. Στίχος.

Κύριε τὰ χείλη μου ἀνοίξεις. Ἀπόκρισις. Καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Στίχος. Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. Ἀπό. Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύμα-

τι. Ὡς ἦν ἐν ἀρχῇ καὶ νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων
ἀμήν. ἀλληλούϊα. Καὶ λέγεται ἀ-
πὸ τοῦ πάσχα, μέχρι τῆς ἑβδομη-
κοστῆς. ἀπὸ δὲ τῆς ἑβδομηκοστῆς
ἄχρι πάσχα. Τὸ δόξα σοι κύριε βα-
σιλεῦ αἰωνίου δόξης. Προσκλη-
τικόν. Χαῖρε κεχαριτωμένη
μαρία, ὁ κύριος μετὰ σοῦ. Δίς.

Ψαλμός.

Δεῦτε ἀγαλλιασώμεθα
τῷ κυρίῳ. ἀλαλάξωμεν τῷ θεῷ
τῷ σωτῆρι ἡμῶν. προφθάσωμεν τὸ
πρόσωπον

πρόσωπον αὐτοῦ ἐν ἐξομολογή-
σει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν
αὐτῷ. Χαῖρε κεχαριτωμένη μα-
ρία, ὁ κύριος μετὰ σοῦ. Ὅτι θεὸς μέ-
γας κύριος. καὶ βασιλεὺς μέγας
ὑπὲρ πάντας τοὺς θεούς. ὅτι οὐκ ἀ-
πώσει κύριος τὸν δῆμον αὐτοῦ.
Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρα-
τα τῆς γῆς. καὶ τὰ ὕψη τῶν ὀρέων
αὐτοῦ εἰσιν. Ὁ κύριος μετὰ σοῦ.
Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐ-
τὸς ἐποίησεν αὐτήν. καὶ τὴν ξηρὰν
αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ· καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς· ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς αὐτοῦ· καὶ πρόβατα νομῆς αὐτοῦ. Χαῖρε κεχαριτωμένη μαρία, ὁ κύριος μετὰ σοῦ. Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με.

σάν με.

σάν με, καὶ εἶδον τὰ ἔργα μου. Ὁ κύριος μετὰ σοῦ. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ· καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου· εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Χαῖρε κεχαριτωμένη μαρία, ὁ κύριος μετὰ σοῦ. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Ὡς ἦν ἐν ἀρχῇ καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ὁ κύριος μετὰ σοῦ.

Χαῖρε κεχαριτωμένη μαρία, ὁ
κύριος μετὰ σοῦ. Ὕμνος.

ὋΝ αἰθὴρ γῆ καὶ θάλασσα, τι-
μῶσ᾽ ἀδιαστρέβονται, τριτ-
τὸν ἄγοντα τέχνημα, κλεῖθρον βα-
στάζει μαρίαμ. Ὧ μήνη τε ὁ ἥλι-
ος, ὃ πάντ᾽ ἐν καιροῖς εἴκουσι, πλη-
σθέντα πόλου χάριτος, σπλάγχνα
φέρει μεαυρίδος. Ὀλβία μήτηρ
χάριτι, ἧς ὕψιστος δημιουργός, βρα-
κὶ τὴν κτίσιν ὁ κρατῶν, γαστρὸς
εἰσέδυ κιβωτόν. Ὀλβία πόλου
κήρυκι. γόνιμε θείῳ πνεύματι, ὁ
ποθεινὸς

ποθεινὸς τοῖς ἔθνεσιν, ἧς διὰ μή-
τρας κέχυται. Δόξα σοι πρέπει
κύριε. ὃς ἐκ κόρης γεγέννησαι, σὺν
τῷ πατρὶ καὶ πνεύματι, αἰῶνα εἰς
ἀπέραντον. ἀμήν. Ἀντίφωνον.
Εὐλογημένη σύ. Ψαλμός.

ΚΥριε ὁ κύριος ἡμῶν, ὡς
θαυμαστὸν τὸ ὄνομά σου ἐν
πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγα-
λοπρέπειά σου, ὑπεράνω τῶν οὐ-
ρανῶν. Ἐκ στόματος νηπίων καὶ
θηλαζόντων κατηρτίσω αἶνον, ἕνε-
κα τῶν ἐχθρῶν σου. τοῦ κατα-

λῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔρ-
γα τῶν δακτύλων σου· σελήνην καὶ
ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνή-
σκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι
ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας
αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δό-
ξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· καὶ κα-
τέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν
χειρῶν σου. Πάντα ὑπέταξας
ὑποκάτω τῶν ποδῶν αὐτοῦ. πρό-
βατα καὶ βόας ἁπάσας· ἔτι δὲ

καὶ τὰ

καὶ τὰ κτήνη τοῦ πεδίου. Τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ. καὶ τοὺς ἰχθύ-
ας τῆς θαλάσσης. τὰ διαπορευό-
μενα τρίβους θαλασσῶν. Κύριε
ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ
ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Δόξα.
καὶ νῦν. Αὐ. Εὐλογημένη σὺ ἐν γυ-
ναιξί. καὶ εὐλογημένος ὁ καρπὸς
τῆς κοιλίας σου. Ἀντίφωνον.
Ὡς σμύρνα. Ψαλμός.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν
θεοῦ· ποίησιν δὲ χειρῶν αὐ-
τοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἡμέ-

ρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. καὶ
νὺξ τῇ νυκτὶ ἀναγγέλλει γνῶσιν.
Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν
οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγ-
γος αὐτῶν. καὶ εἰς τὰ πέρατα τῆς
οἰκουμένης τὰ ῥήματα αὐτῶν.
Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα
αὐτοῦ. καὶ αὐτὸς ὡς νυμφίος ἐκ-
πορευόμενος ἐκ παστοῦ αὐτοῦ.
Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν
ὁδόν. ἀπάκρου τοῦ οὐρανοῦ ἡ ἔξο-
δος αὐτοῦ. Καὶ τὸ κατάντημα
αὐτοῦ

αὐτοῦ, ἕως ἄκρου τοῦ οὐρανοῦ.
καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται
τῆς θέρμης αὐτοῦ. Ὁ νόμος κυρί-
ου ἄμωμος, ἐπιστρέφων ψυχάς.
ἡ μαρτυρία κυρίου πιστή, σοφίζου-
σα νήπια. Τὰ δικαιώματα κυ-
ρίου εὐθεία, εὐφραίνοντα καρδίαν.
ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτί-
ζουσα ὀφθαλμούς. Ὁ φόβος κυ-
ρίου ἁγνός, διαμένων εἰς αἰῶνα
αἰῶνος. τὰ κρίματα κυρίου ἀλη-
θινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό.
Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λί-

θον τίμιον πολύ. καὶ γλυκύτερα
ὑπὲρ μέλι καὶ κηρίον. Καὶ γὰρ ὁ
δοῦλός σου φυλάσσει αὐτά. ἐν τῷ
φυλάσσειν αὐτὰ, ἀνταπόδωσις
πολλή. Παραπτώματα τίς συνή-
σει; ἐκ τῶν κρυφίων μου καθάρει-
σόν με. καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι
τοῦ δούλου σου. Ἐὰν μή μου κατα-
κυριεύσωσι, τότε ἄμωμος ἔσομαι.
καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτί-
ας μεγάλης. Καὶ ἔσονται εἰς εὐ-
δοκίαν τὰ λόγια τοῦ στόματός μου.
καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώ-

πιόνσου

πιόν σου διαπαντός. Κύριε βοη-
θέ μου, καὶ λυτρωτά μου. Δόξα. καὶ νῦν.
Ἀντ. Ὡς σμύρνα ἐκλεκτὴ ἐδώ-
κας εὐωδίαν ἡδύτητος θεοτόκε ὑπε-
ραπία. Ἀντ. πρὸ τῆς κλίνης. Ψαλμ.

Τοῦ κυρίου ἡ γῆ, καὶ τὸ πλή-
ρωμα αὐτῆς. ἡ οἰκουμέ-
νη, καὶ πάντες οἱ κατοικοῦντες ἐν
αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθε-
μελίωσεν αὐτήν. καὶ ἐπὶ ποταμῶν
ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσε-
ται εἰς τὸ ὄρος τοῦ κυρίου; ἢ τίς
στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρ-
δίᾳ. ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ
τὴν ψυχὴν αὐτοῦ. καὶ οὐκ ὤμοσεν
ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.
Οὗτος λήψεται εὐλογίαν παρὰ
κυρίου. καὶ ἐλεημοσύνην πα-
ρὰ θεοῦ σωτῆρος αὐτοῦ. Αὕτη
ἡ γενεὰ ζητούντων τὸν κύριον. ζη-
τούντων τὸ πρόσωπον τοῦ θεοῦ ἰα-
κώβ. Ἄρατε πύλας οἱ ἄρχον-
τες ὑμῶν, καὶ ἐπάρθητε πύλαι
αἰώνιοι. καὶ εἰσελεύσεται ὁ βασι-
λεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ

βασιλεὺς

βασιλεὺς τῆς δόξης; κύριος κραταιὸς
καὶ δυνατός. κύριος δυνατὸς ἐν πολέμῳ.
Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσε-
λεύσεται ὁ βασιλεὺς τῆς δόξης; Τίς
ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύ-
ριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βα-
σιλεὺς τῆς δόξης. Δόξα. καὶ νῦν.
Ἀντί. Πρὸ τῆς κλίνης ταύτης
τῆς παρθένου, συνεχῶς ᾄδετε ἡμῖν
ἡδέα ᾄσματα δράματος. Στίχος.
Ἐξεχύθη χάρις ἐν χείλεσί σου.
Ἀπό. Διὰ τοῦτο εὐλόγησέ σε ὁ

θεὸς εἰς τὸν αἰῶνα. **Εὐχή.**

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου. ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Εὐλο-

Εὐλογία.

Ταῖς δεήσεσι καὶ ταῖς χάρισι τῆς μακαρίας καὶ ἀειπαρθένου μαρίας, καὶ πάντων τῶν ἁγίων, ἀράξαι ἡμᾶς ὁ κύριος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. **Ἀπόκρ.** Ἀμήν. **Στίχ.** Κέλευσον δέσποτα εὐλογῆσαι. **Εὐλογία.** Εὐλογήσαι ἡμᾶς σὺν εὐσεβεῖ γόνῳ ἡ παρθένος μαρία. **Ἀπόκρισις.** Ἀμήν.

Ἀνάγνωσις. α.

Ἐν πᾶσιν ἀνάπαυσιν ἐζή-

τῆς σοῦ. καὶ ἐν κληρονομίᾳ κυρί-
ου διατρίψω. τότε ἐνετείλατο
καὶ εἶπέ μοι ὁ κτίστης ἁπάντων, καὶ
ὁ κτίσας με ἀνέπαυσέ το ἐν τῇ
σκηνῇ μου, καὶ εἶπεν· ἐν Ἰακὼβ κα-
τασκήνωσον. καὶ ἐν Ἰσραὴλ κατα-
κληρονομήθητι. καὶ ἐν τοῖς ἐκλε-
κτοῖς μου ῥιζοβόλει. σὺ δὲ κύριε
ἐλέησον ἡμᾶς. Ἀπό. Τῷ θεῷ
χάριτας. Ἀπό. Ἁγία παρθενία
καὶ ἄσπιλε. οὐκ οἶδα τίσιν ἐπαίνοις
ἂν ἐπαίροιμί σε. ὅτι ὃν ἀχώρη-
τον τοῖς οὐρανοῖς, ἐν τῷ σῷ κόλ-
πῳ ἐβά-

πῳ ἐβάστασας. Στίχος. Εὐλογη-
μένη σὺ ἐν γυναιξί. καὶ εὐλογημέ-
νος ὁ καρπὸς τῆς κοιλίας σου. ὅτι.

Ἀνάγνωσις δευτέρα.

ΚΑὶ οὕτως ἐν Σιὼν ἐστερεώ-
θην. καὶ ἐν πόλει ἡγιασμένῃ ὁ-
μοίως ἀνεπαυσάμην. καὶ ἐν Ἱερου-
σαλὴμ ἡ ἐξουσία μου. καὶ ἐρρίζω-
σα ἐν λαῷ δεδοξασμένῳ. καὶ ἐν μερί-
δι κυρίου κληρονομία αὐτοῦ.
καὶ ἐν τῷ πληρώματι τῶν ἁγίων
ἡ κατοχή μου. Σὺ δὲ κύριε ἐλέη-
σον ἡμᾶς. Ἀπό. Τῷ θεῷ χάριτας.

Ἀντ. Μακαρία ὑπάρχεις παρθένε μαρία. ἡ τὸν κύριον βαστάσασα, τὸν τὴν κτίσιν ὑποστήσαντα. ἐκύησας τὸν ποιήσαντά σε. καὶ εἰς αἰῶνα διαμένεις παρθένος. Στίχος. Χαῖρε κεχαριτωμένη μαρία ὁ κύριος μετὰ σοῦ. Ἡ κυήσασα. καὶ τὰ ἑξῆς. Στίχος. Κέλευσον δέσποτα εὐλογῆσαι.

Εὐλογία. Διὰ τῆς ἀειπαρθένου μητρὸς, δοίη σωτηρίαν ἡμῖν καὶ εἰρήνην ὁ κύριος. Ἀντ. ἀμήν.

Ἀνάγνωσις τρίτη.

ὡς κέδρος

Ὡς κέδρος ὑψώθην ἐν τῷ λιβάνῳ. καὶ ὡς κυπάρισσος ἐν ὄρει σιών. ὡς φοῖνιξ ἀνυψώθην ἐν γαδδί. καὶ ὡς φυτὰ ῥόδου ἐν ἱεριχῷ. ὡς ἐλαία εὐπρεπὴς, ἐν πεδίῳ ὡραίῳ. καὶ ὡς πλάτανος ἀνυψώθην ἐφ' ὕδατος. ὡς κιννάμωμον καὶ βάλσαμον ἀρωματίζον ὀσμὴν ἔδωκα. ὡς μύρρα ἐκλεκτὴ διέδωκα ἡδύτητα ὀσμῆς. Σὺ δὲ κύριε ἐλέησον ἡμᾶς. Ἀντ. Τῷ θεῷ χάριτας. Στίχος. Μακαρία γὰρ ὑπάρχεις ἱερὰ παρθένε μα

εία, καὶ παντὸς ἐπαίνου ἀξιωτά-
τη. ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ ἥ-
λιος τῆς δικαιοσύνης χριστὸς ὁ
θεὸς ἡμῶν. στίχος. Εὔχου ὑπὲρ τοῦ
λαοῦ. μεσίτευε ὑπὲρ τοῦ κλήρου.
ἐντύγχανε ὑπὲρ τοῦ εὐλαβοῦς γυ-
ναικείου φύλης. αἰσθέσθωσαν πάν-
τες τὴν βοήθειάν σου, ὅσοι τὴν
σὴν ἁγίαν ἑορτάζουσι μνήμην. ὅ-
τι ἐκ σοῦ ἀνέτειλεν ὁ ἥλιος. καὶ
τὰ ἑξῆς. Δόξα πατρὶ καὶ υἱῷ καὶ
ἁγίῳ πνεύματι. χριστὸς ὁ θεὸς ἡ-
μῶν. Ὠδὴ τῶν ἁγίων. ἀμβροσίου
καὶ αὐγουστί-

καὶ αὐγουστίνου.

Σὲ τὸν θεὸν ὑμνοῦμεν, σὲ
τὸν κύριον ὁμολογοῦμεν.
Σὲ τὸν αἰώνιον πατέρα, πᾶσα ἡ
γῆ σέβεται. Σοὶ πάντες ἄγγε-
λοι. Σοὶ οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ δυ-
νάμεις. Σοὶ τὰ χερουβὶμ καὶ σερα-
φὶμ ἀκαταπαύστῳ φωνῇ ἐκβοῶ-
σιν, Ἅγιος. Ἅγιος. Ἅγιος κύριος ὁ
θεὸς σαββαώθ. Πλήρεις οἱ οὐρανοὶ
καὶ ἡ γῆ τῆς σῆς δόξης μεγαλειό-
τητος. Σὲ ὁ ἔνδοξος τῶν ἀπο-
στόλων χορός. Σὲ ὁ τῶν προφητῶν

αἰνετὸς ἀριθμός. Σὲ ὁ τῶν μαρτύρων
λευκοείμων στρατὸς αἰνύμνει. Σὲ
ἀνὰ τὴν οἰκουμένην ἡ ἁγία ὁμολογεῖ
ἐκκλησία. Πατέρα τῆς ἀμετρήτου
μεγαλειότητος. Τόν τε σεβάσμιόν
σου ἀληθῆ καὶ μονογενῆ υἱόν. Καὶ
ἅγιον καὶ παράκλητον πνεῦμα.
Σὺ βασιλεὺς δόξης χριστέ. Σὺ τοῦ
πατρὸς ἀΐδιος ὑπάρχεις υἱός. Σὺ
πρὸς τὸ λυτρώσασθαι τὸν ἄν-
θρωπον ἀναληψόμενος, οὐκ ἔφρι-
ξας τὴν τῆς παρθένου γαστέρα.
Σὺ νικήσας τοῦ θανάτου τὸ κέν-
τρον,

τρον, ἤνοιξας τοῖς πιστοῖς τὴν βα-
σιλείαν τῶν οὐρανῶν. Σὺ ἐκ δεξιῶν
τοῦ θεοῦ κάθησαι ἐν τῇ δόξῃ τοῦ πα-
τρός. Κριτὴς πιστευόμενος ἥξειν.
Σὲ οὖν τοίνυν δεόμεθα τοῖς σοῖς οἰκέ-
ταις βοήθει. οὓς τῷ τιμίῳ σου ἐξη-
γόρασας αἵματι. Καταρίθμησον ἐν
τῇ αἰωνίῳ δόξῃ τοῖς ἁγίοις σου
συναριθμηθῆναι. Σῶσον τὸν λαόν
σου κύριε, καὶ εὐλόγησον τὴν κλη-
ρονομίαν σου. Καὶ ποίμανον αὐ-
τοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ
αἰῶνος. Καθ' ἑκάστην ἡμέραν εὐλο-

γοῦμέν σε. Καὶ αἰνοῦμεν τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καταξίωσον κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Ἐλέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί. Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Εἰς τοὺς αἴνους. στίχος.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. Ἀντίφωνον. Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Δόξα. καὶ νῦν. Εἰς τὸ τέλος οθ'

ἀλληλούϊα.

ἀγηλεία. Ἀντίφωνον. Προσελήφθη.

Ὁ Κύριος ἐβασίλευσεν. Ψαλμ. οε'

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε. ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ ποταμοὶ κύριε. ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν. ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. θαυμαστὸς ἐν

ὑψηλοῖς ὁ κς. Τὰ μαρτύριά σου
ἐπιστώθησαν σφόδρα. τῷ οἴκῳ σου
πρέπει ἁγίασμα κε εἰς μακρότη-
τα ἡμερῶν. Δόξα. Καὶ νῦν. Ἀντί.
Προσελήφθη μαρία εἰς τὸν οὐρα-
νόν. χαίρουσιν ἄγγελοι ἀνυμνοῦν-
τες εὐλογοῦσι τὸν κύριον. Ἀντί.
Ἡ παρθένος μαρία. Ψαλμός.

Ἀλαλάξατε τῷ θεῷ πᾶσα
ἡ γῆ. δουλεύσατε τῷ κυρίῳ
ἐν εὐφροσύνῃ. Εἰσέλθετε ἐνώπι-
ον αὐτοῦ, ἐν ἀγαλλιάσει. Γνῶτε ὅτι
κς αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. αὐτὸς
ἐποίησεν

ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. Ἡμεῖς δὲ
λαὸς αὐτοῦ. καὶ πρόβατα νομῆς αὐ-
τοῦ. εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ
ἐν ἐξομολογήσει. εἰς τὰς αὐλὰς αὐ-
τοῦ ἐν ὕμνοις, ἐξομολογεῖσθε αὐτῷ.
Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ. ὅτι χρη-
στὸς κύριος. εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ. καὶ ἕως γενεᾶς καὶ γενεᾶς
ἡ ἀλήθεια αὐτοῦ. Δόξα πατρί.
Καὶ νῦν. Ἀντί. Ἡ παρθένος μα-
ρία προσελήφθη εἰς τὸν ἐπουράνι-
ον θάλαμον. ἐν ᾧ τῶν βασιλέων ὁ
βασιλεὺς ἐπὶ καταστέρου καθη-

ται θρόνου. Ἀμήν. Εἰς ὅσ μήμ.

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ
ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυ-
χή μου. ποσαπλῶς σοι ἡ σάρξ
μου. Ἐν γῇ ἐρήμῳ. ἀβάτῳ. καὶ ἀ-
νύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην
σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου, καὶ
τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔ-
λεός σου ὑπὲρ ζωάς. τὰ χείλη
μου ἐπαινέσουσί σε. Οὕτως εὐλο-
γήσω σε ἐν τῇ ζωῇ μου. καὶ ἐν τῷ
ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος ἐμ-

πλησθείη

πλησθείη ἡ ψυχή μου. καὶ χείλη
ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρω-
μνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέ-
των εἰς σέ. ὅτι ἐγενήθης βοηθός μου.
Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων
σου ἀγαλλιάσομαι. ἐκολλήθη ἡ
ψυχή μου ὀπίσω σου. ἐμοῦ δὲ ἀν-
τελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ
εἰς μάτην ἐζήτησαν τὴν ψυχήν
μου. εἰσελεύσονται εἰς τὰ κατώ-
τατα τῆς γῆς. παραδοθήσονται
εἰς χεῖρας ῥομφαίας. μερίδες

ἀλωπέκων ἔσονται. Ὁ δὲ βασι-
λεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ.
ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν
αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλοῦν-
των ἄδικα. Ψαλμὸς.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.
καὶ εὐλογήσαι ἡμᾶς. ἐπι-
φάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡ-
μᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν
ὁδόν σου. ἐν πᾶσιν ἔθνεσι τὸ σω-
τήριόν σου. Ἐξομολογησάσθωσάν
σοι λαοὶ ὁ θεός. ἐξομολογησάσθω-
σάν σοι λαοὶ πάντες. Εὐφρανθή-
τωσαν καὶ

τωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.
ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι. καὶ
ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομο-
λογησάσθωσάν σοι λαοὶ ὁ θεός. ἐξο-
μολογησάσθωσάν σοι λαοὶ πάν-
τες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.
Εὐλογήσαι ἡμᾶς ὁ θεός, ὁ θεὸς ἡ-
μῶν. εὐλογήσαι ἡμᾶς ὁ θεός. καὶ φο-
βηθήτωσαν αὐτὸν πάντα τὰ πέρα-
τα τῆς γῆς. Δόξα. Καὶ νῦν. Ἀντ.
Εἰς ὀσμὴν μύρων σου τρέχομεν.
νεάνιδες ἠγάπησάν σε σφόδρα.
Ἀντί. Εὐλογημένη σὺ θυγάτηρ.

Ὠδὴ τῶν ἁγίων τριῶν παίδων.

Εὐλογεῖτε πάντα τὰ
ἔργα κυρίου τὸν κύριον,
ὑμνεῖτε καὶ ὑπερυψοῦ-
τε αὐτὸν εἰς πάντας τοὺς αἰῶ-
νας. Εὐλογεῖτε ἄγγελοι κυρίου.
οὐρανοὶ κυρίου τὸν κύριον. ὑμνεῖ-
τε καὶ ὑπερυψοῦτε. Εὐλογεῖτε
ὕδατα πάντα τὰ ὑπεράνω τῶν
οὐρανῶν, πᾶσαι αἱ δυνάμεις κυ-
ρίου τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυ-
ψοῦτε. Εὐλογεῖτε ἥλιος καὶ σε-
λήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν κύρι-
ον.

ον. Εὐλογεῖτε πᾶς ὄμβρος καὶ
δρόσος, πάντα τὰ πνεύματα τὸν
κύριον. Εὐλογεῖτε πῦρ καὶ καῦ-
μα. ψῦχος καὶ καύσων τὸν κύριον.
Εὐλογεῖτε δρόσοι καὶ νιφετοί.
πάγοι καὶ ψῦχος, τὸν κύριον.
Εὐλογεῖτε πάχναι καὶ χιόνες,
ἀστραπαὶ καὶ νεφέλαι τὸν κύριον.
Εὐλογεῖτε φῶς καὶ σκότος, νύ-
κτες, καὶ ἡμέραι τὸν κύριον
ὑμνεῖτε. Εὐλογεῖτε γῆ ὄρη. καὶ
βουνοὶ πάντα τὰ φυόμενα ἐν αὐ-
τῇ τὸν κύριον. Εὐλογεῖτε θά-

λασσαι. καὶ ποταμοί. πηγαί. κήτη.
καὶ πάντα τὰ κινούμενα ἐν τοῖς
ὕδασι τὸν κύριον. Εὐλογεῖτε
πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,
τὰ θηρία καὶ πάντα τὰ κτήνη τὸν
κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε.
Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων. εὐ-
λογείτω ἰσραὴλ τὸν κύριον. Εὐ-
λογεῖτε ἱερεῖς κυρίου, δοῦλοι κῡ
τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦ-
τε. Εὐλογεῖτε πνεύματα καὶ ψυ-
χαὶ δικαίων. ὅσιοι καὶ ταπεινοὶ
τῇ καρδίᾳ, τὸν κύριον ὑμνεῖτε

καὶ ὑπερ

καὶ ὑπερυψοῦτε. Εὐλογεῖτε ἀνα-
νία. ἀζαρία καὶ μισαὴλ τὸν κύρι-
ον. ὑμνεῖτε. Εὐλογεῖτε ἀπόστολοι,
προφῆται, καὶ μάρτυρες κυρίου τὸν
κν̄ ὑμνεῖτε καὶ ὑπερυψοῦτε. Εὐλο-
γοῦμεν πατέρα, υἱὸν, καὶ ἅγιον
πνεῦμα, τὸν κύριον. ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς
αἰῶνας. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἀμήν. Αἰνοῦμεν
εὐλογοῦμεν. προσκυνοῦμεν τὸν
κύριον ὑμνοῦντες καὶ ὑπερυψοῦν-
τες αὐτὸν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐλογημένη σὺ θυγάτηρ ὑπὸ τοῦ
κυρίου· ὅτι διὰ σοῦ, τοῦ καρποῦ
τῆς ζωῆς μετεσχήκαμεν. Ἀντί.
Καλὴ εἶ καὶ ὡραία. Ψαλμός.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν
οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν
τοῖς ὑψίστοις. Αἰνεῖτε αὐτὸν πάν-
τες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐ-
τὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰ-
νεῖτε αὐτὸν ἥλιος καὶ σελήνη. αἰνεῖτε
αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐ-
ρανῶν. καὶ τὸ ὕδωρ τὸ ὑπεράνω
τῶν οὐ-

τῶν οὐρανῶν, αἰνεσάτωσαν τὸ ὄνο-
μα κυρίου. Ὅτι αὐτὸς εἶπε, καὶ
ἐγεννήθησαν. αὐτὸς ἐνετείλατο, καὶ
ἐκτίσθησαν. Ἔστησεν αὐτοὺς εἰς τὸν
αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύ-
σεται. Αἰνεῖτε τὸν κύριον ἐκ τῆς
γῆς. δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ. χάλαζα. χιών. κρύσταλλος.
πνεῦμα καταιγίδος, τὰ ποιοῦν-
τα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ
πάντες οἱ βουνοί. ξύλα καρποφό-
ρα καὶ πᾶσαι αἱ κέδροι. Τὰ θη-

εῖα καὶ πάντα τὰ κτήνη. ἑρπετὰ
καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς
γῆς. καὶ πάντες λαοί. ἄρχοντες, καὶ
πάντες κριταὶ γῆς. Νεανίσκοι
καὶ παρθένοι. πρεσβύτεροι μετὰ
νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνο-
μα κυρίου. ὅτι ὑψώθη τὸ ὄνομα
αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις
αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώ-
σει κέρας λαοῦ αὐτοῦ. Ὕμνος
πᾶσι τοῖς ὁσίοις αὐτοῦ. τοῖς υἱοῖς
ἰσραὴλ λαῷ ἐγγίζοντι αὐτῷ. Ψαλ.

Ἄσατε

Ἄσατε τῷ κυρίῳ ᾆσμα
καινόν. ἡ αἴνεσις αὐ-
τοῦ ἐν ἐκκλησίᾳ ὁσίων. Εὐφραν-
θήτω ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι
αὐτόν. καὶ οἱ υἱοὶ σιὼν ἀγαλλιάσθω-
σαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. Αἰνε-
σάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ.
ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλλά-
τωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ κύριος
ἐν τῷ λαῷ αὐτοῦ. καὶ ὑψώσει πρα-
εῖς ἐν σωτηρίᾳ. Καυχήσονται
ὅσιοι ἐν δόξῃ. καὶ ἀγαλλιάσονται
ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώ-

σεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν. ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις. καὶ τοὺς ἐνδόξους αὐτῶν, ἐν χειροπέδαις σιδηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ. Δόξα. Καὶ νῦν. Ψαλμός.

Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. αἰνεῖτε αὐτὸν ἐν στερεώ-

ματι

ματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ. αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. Δόξα. Καὶ νῦν. Ἀπ΄.

Καλὴ ὑπάρχεις καὶ ὡραία θυ-
γάτηρ ἱερουσαλήμ. φοβερὰ ὡς
στρατοπέδων παράταξις τεταγ-
μένη. Κεφάλαιον.

Εἶδον αὐτὴν θυγατέρες σι-
ὼν καὶ μακαριωτάτην ἐ-
κήρυξαν. καὶ αἱ βασίλισσαι ᾔνεσαν
αὐτήν. Ἀντ. Τῷ θεῷ χαίρετε. Ὕμνος.

Ὦ πανένδοξε δέσποινα, ὑ-
πὲρ ἄστρα μετέωρε. ὃς ἔ-
κτισε προνοίᾳ σε, θείῳ μαστῷ ἐθή-
λασας. Ὃ σὺ γυνὴ Εὔα ἀφείλετο, σὺ
τίκτεις ἱερῷ βλαστῷ. ὡς εἰσβαίνωσιν οἱ
κλαυθμη-

κλαυθμηροὶ ἄστρα, ἔστεν ἐλυθεῖς.
Ὑψηλοῦ θύρα μέδοντος. λαμπρά
τε πύλη σέλαος. ζωὴν δοθεῖσαν παρ-
θένῳ, ῥυθέντες ἔθνη κροτήσατε. Δό-
ξα σοι πρέπει κύριε. ὃς ἐκ κόρης
γεγέννησαι. σὺν τῷ πατρὶ καὶ πνεύ-
ματι, αἰῶνα εἰς ἀπέραντον. ἀμήν.
Στίχος. Εὐλογημένη σὺ ἐν γυναι-
ξί. Ἀπό. Καὶ εὐλογημένος ὁ καρ-
πὸς τῆς κοιλίας σου. Ἀντι. Μα-
καρία θεοτόκε.

Ὠδὴ ζαχαρίου τοῦ πατρὸς τοῦ προ-
δρόμου.

Εὐλογητὸς κύριος ὁ θεὸς
τοῦ ἰσραήλ· ὅτι ἐπεσκέ-
ψατο καὶ ἐποίησε λύτρωσιν τῷ
λαῷ αὐτοῦ. Καὶ ἤγειρε κέρας
σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ δαβὶδ
τοῦ παιδὸς αὐτοῦ. Καθὼς ἐλά-
λησε διὰ στόματος τῶν ἁγίων, τῶν
ἀπ' αἰῶνος προφητῶν. Σωτηρίαν
ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάν-
των τῶν μισούντων ἡμᾶς. Ποιῆ-
σαι ἔλεος μετὰ τῶν πατέρων
ἡμῶν· καὶ μνησθῆναι διαθήκης ἁ-
γίας αὐτοῦ. Ὅρκον ὃν ὤμοσε πρὸς
ἀβραὰμ

ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦ-
ναι ἡμῖν. Ἀφόβως ἐκ χειρὸς τῶν
ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύ-
ειν αὐτῷ. Ἐν ὁσιότητι καὶ δικαιο-
σύνῃ ἐνώπιον αὐτοῦ, πάσας τὰς
ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σὺ
παιδίον προφήτης ὑψίστου κλη-
θήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώ-
που κυρίου ἑτοιμάσαι ὁδοὺς αὐ-
τοῦ. Τοῦ δοῦναι γνῶσιν σωτη-
ρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁ-
μαρτιῶν. Διὰ σπλάγχνα ἐλέ-
ους θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψα-

το ἡμᾶς ἀνατολὴ ἐξ ὕψους. Ἐπι-
φᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ
θανάτου καθημένοις. τοῦ κατευθῦ-
ναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰ-
ρήνης. Δόξα. Καὶ νῦν.
Ἀντί. Μακαρία θεοτόκε ἀειπάρ-
θενε μαρία, ναὲ κυρίου. ἱερεῖον
τοῦ ἁγίου πνεύματος. ἡ μόνη ἔξω
παραδείγματος, ἀρέσασα τῷ
κυρίῳ ἡμῶν Ἰησοῦ χριστῷ. εὔχου
ὑπὲρ τοῦ λαοῦ. μεσίτευε ὑπὲρ τοῦ
κλήρου. ἐντύγχανε ὑπὲρ τῆς εὐ-
λαβοῦς γυναικείας φύλης. Κύ-

ριε

ριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύ-
ριε ἐλέησον. Στίχος. Κύριε εἰσάκου-
σον τῆς προσευχῆς μου. Ἀντ. Καὶ
ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Εὐχή.

Ὁ θεὸς ὁ ἐκ τῆς μακαρίας
παρθένου μαρίας γα-
στρὸς τὸν σὸν λόγον ἀγγέλου μηνύ-
οντος σάρκα προσλαβεῖν εὐδοκή-
σας, παράσχου τοῖς σοῖς οἰκέταις,
οἱ ταύτην ὄντως θεοτόκον πι-
στεύομεν, τοῖς αὐτῆς πρὸς σὲ ἐν-
τεύξεσι βοηθεῖσθαι. διὰ τοῦ χρι-
στοῦ τοῦ κυρίου ἡμῶν. Ἀντ. Ἀμήν.

Δ ii

Ἀνάμνησις περὶ τῶν ἁγίων. Ἀντί.

Ἅγιοι τοῦ θεοῦ πάντες πρεσβεύ-
ειν καταδέξασθε ὑπὲρ τῆς ἡμῶν σω-
τηρίας καὶ πάντων. Στί. Εὐφραν-
θῆτε ἐπὶ κύριον. καὶ ἀγαλλιᾶσθε
δίκαιοι. Ἀντ. Καὶ καυχᾶσθε πάν-
τες οἱ εὐθεῖς τῇ καρδίᾳ. Εὐχή.

Σκέπε κύριε τὸν λαόν σου.
καὶ τῇ τῶν ἀποστόλων σου
πέτρου καὶ παύλου, καὶ τῇ τῶν
ἄλλων ἀποστόλων βοηθείᾳ πεποι-
θότα, διηνεκεῖ ἀντιλήψει διαφύ-
λαξον. Περὶ τῶν ἁγίων.

οἱ ἅγιοι

ΟΙ ἅγιοί σου πάντες δεόμε-
θα καὶ πανταχοῦ βοηθεῖεν
ἡμῖν, ὅπως ἐν τῷ τὰς αὐτῶν εὐερ-
γεσίας εὐλαβῶς ἀμείβεσθαι, τὴν
ἐπικουρίαν αἰσθώμεθα. καὶ τὴν
σὴν εἰρήνην παράσχου τοῖς ἡμετέ-
ροις καιροῖς. καὶ ἀπὸ τῆς ἐκκλησί-
ας σου, πᾶσαν ἀπέλασον μοχθη-
ρίαν. τὰς ἡμετέρας ὁδοὺς. πρά-
ξεις. προαιρέσεις. καὶ πάντων τῶν οἰ-
κετῶν σου, ἐν τῇ τῆς σωτηρίας
συνκατορθώσει διάθες. τοῖς εὐ-
εργέταις ἡμῶν, ἀγαθὰ αἰώνια ἀν-

τὰ πόδας. καὶ πᾶσι τοῖς ἀποιχο-
μένοις πιστῶς ἀνάπαυσιν αἰωνίαν
παράσχου. διὰ τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ. Στίχος. Κύριε εἰσά-
κουσον τῆς προσευχῆς μου. Ἀπό.
Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέ-
τω. Στίχος. Εὐλογῶμεν τὸν κύριον.
Ἀπό. Τῷ θεῷ χάριτας. Στί.
Αἱ τῶν πιστῶν ψυχαὶ ἀναπαυθήτω-
σαν ἐν εἰρήνῃ. Ἀπό. Ἀμήν.

εἰς τὴν

Εἰς τὴν πρώτην ὥραν.

Ὁ θεὸς εἰς τὴν βοήθειάν
μου πρόσχες. Ἀπό. Κύριε
εἰς τὸ βοηθῆσαί μοι σπεῦ-
σον. Δόξα. Καὶ νῦν. Εἰς τὸ τέ-
λος ἀλληλούϊα. Ὕμνος.

Ὦ Σωτηρίας αὐτουργὲ. μνή-
σθητι πῶς πρὶν χριστὸς ἡμῶν,
ἐκ παρθένου γεννώμενος ἀφαύ-
στου, μορφὴν εἴληφας. Μαρία
μήτηρ χάριτος. ἔλεος ἡ γεννήσασα-

σαι. ἡμᾶς ἀπ' ἐχθροῦ σκέπασον.
ἐν ὥρᾳ θανάτου μου πρόσδεξαι. Δό-
ξα σοι πρέπει κύριε. ὃς ἐκ κόρης
γεγέννησαι. σὺν τῷ πατρὶ καὶ πνεύ-
ματι, αἰῶνας εἰς ἀπέραντον. Ἀπ.
Ἀμήν. Ἀντ. Προσελήφθη.

Ψαλμός.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου
σῶσόν με. καὶ ἐν τῇ δυνά-
μει σου κρινεῖς με. Ὁ θεὸς εἰσά-
κουσον τῆς προσευχῆς μου. ἐνώ-
τισαι τὰ ῥήματα τοῦ στόματός μου.
Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐ-
με καὶ

μέ. καὶ κραταιοὶ ἐζήτησαν τὴν
ψυχήν μου. καὶ οὐ προέθεντο τὸν
θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ
θεὸς βοηθός μου καὶ ὁ κύριος ἀντι-
λήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέ-
ψει τὰ κακὰ τοῖς ἐχθροῖς μου. ἐν
τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐ-
τούς. Ἑκουσίως θύσω σοι. ἐξομο-
λογήσομαι τῷ ὀνόματί σου κύριε
ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψε-
ως ἐρρύσω με. καὶ ἐν τοῖς ἐχθροῖς
μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.
Δόξα. Καὶ νῦν. Ψαλμός.

Εὐδόκησας κύριε τὴν γῆν
σου, ἀπέστρεψας τὴν αἰχ-
μαλωσίαν ἰακώβ. Ἀφῆκας τὰς
ἀνομίας τῷ λαῷ σου ἐκάλυψας
πάσας τὰς ἁμαρτίας αὐτῶν.
Κατέπαυσας πᾶσαν τὴν ὀργήν
σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ
σου. Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν
σωτηρίων ἡμῶν καὶ ἀπόστρεψον
τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς
τοὺς αἰῶνας ὀργισθῆς ἡμῖν ἢ διατε-
νῆς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς
γενεάν, Ὁ θεὸς σὺ ἐπιστρέψας ζω-
ώσεις

ώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐ-
φρανθήσεται ἐπὶ σοί. Δεῖξον ἡ-
μῖν κύριε τὸ ἔλεός σου, καὶ τὸ σω-
τήριόν σου δώῃς ἡμῖν. Ἀκούσομαι
τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεὸς ἡ-
μῶν ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν
λαὸν αὐτοῦ. Καὶ ἐπὶ τοὺς ὁσί-
ους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφον-
τας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγ-
γὺς τῶν φοβουμένων αὐτὸν τὸ σω-
τήριον αὐτοῦ τοῦ κατασκηνῶσαι
δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ
ἀλήθεια συνήντησαν. δικαιοσύ-

νη ἡ εἰρήνη κατεφίλησαν. Ἀλή-
θεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαι-
οσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.
Καὶ γὰρ ὁ κύριος δώσει χρηστότη-
τα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρ-
πὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον
αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς
ὁδὸν τὰ διαβήματα αὐτοῦ.
Δόξα. Καὶ νῦν.

Ψαλμός.

Αἰνεῖτε τὸν κύριον πάντα
τὰ ἔθνη. ἐπαινέσατε αὐ-
τὸν πάντες οἱ λαοί. Ὅτι ἐκρα-

ταιώθη

ταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς
καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς
τὸν αἰῶνα. Δόξα. Καὶ νῦν. Ἀντ.
Προσελήφθη μαριὰμ εἰς τὸν οὐ-
ρανόν. χαίρουσιν ἄγγελοι. αἰνοῦ-
ντες εὐλογοῦσι τὸν κύριον.

Κεφάλαιον.

Τίς αὕτη ἡ ἐκκύπτουσα ὡς
ὄρθρος ἀνατέλλουσα καλὴ ὡς
σελήνη. ἐκλεκτὴ ὡς ὁ ἥλιος. Φο-
βερὰ ὡς στρατοπέδων παρά-
ταξις τεταγμένη. Ἀντ. Τῷ
θεῷ χάριτες. Στίχος. Ἀξίωσόν με

ὑμνῆσαί σε παρθένε ἱερά. Ἀπό.
Δός μοι δύναμιν κατὰ τῶν ἐ-
χθρῶν σου. Κύριε ἐλέησον. Χρι-
στὲ ἐλέησον. Κύριε ἐλέησον. Στί.
Κύριε εἰσάκουσον τῆς προσευ-
χῆς μου. Ἀπό. Καὶ ἡ κραυγή μου
πρὸς σὲ ἐλθέτω. Εὐχή.

Θεὸς ὁ τὴν παρθενικὴν
αὐλὴν τῆς μακαρίας παρ-
θένου μαρίας ἐφ᾽ ᾧ κατασκηνῶ-
σαι ἐν αὐτῇ, ἐκλέξασθαι κατα-
ξιώσας, παράσχου δεόμεθα ὅπως
τῇ

τῇ ταύτης περιπεφραγμένους
ἡμᾶς ἀντιλήψει, εὐθύμους ποιή-
σῃ τῇ ἀναμνήσει αὐτῆς παρεῖ-
ναι. ὃς ζῇς καὶ βασιλεύεις εἰς αἰῶ-
νας αἰώνων. Ἀπό. Ἀμήν.

Ὑπὲρ τῶν ἁγίων. Ἀντί. Ἅγιοι
τοῦ θεοῦ πάντες πρεσβεύειν κα-
ταδέξασθε ὑπὲρ τῆς ἡμῶν σωτη-
ρίας καὶ πάντων. Στί. Εὐφράν-
θητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε
δίκαιοι. Ἀπό. Καὶ καυχᾶσθε
πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Εὐχή.

Εἰσάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ
ἡμῶν καὶ τοῖς τῶν ἀποστόλων
συμπρεσβείαις καὶ παύλου καὶ τοῖς τῶν ἁγίων
ἀποστόλων φρουρήσεσιν ἀσφάλισον
ὁ τοῖς αὐτῶν χαρισάμενος πιστοὺς εἶ-
ναι διδασκαλίαις. Εὐχή.

Οἱ ἀπόστολοι πάντες δεόμεθα
κύριε. καὶ τὰ ἑξῆς. Ἡ ἀνω-
τέρω γραφεῖσα ἀνάμνησις λέγε-
ται εἰς τὴν πρώτην. εἰς τὴν ἕκτην
καὶ εἰς τὸ ἀπόδειπνον.

Εἰς τὴν ϛ΄. Στίχος.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν
μου πρόσχες. Ἀπ.
Κύριε εἰς τὸ βοηθῆσαί μοι
σπεῦσον. Δόξα. Καὶ νῦν. Ὕμνος.

Ὡς σωτηρίας αὐτουργέ. καὶ
τὰ ἑξῆς. Ἀντίφ. Ἡ παρθε-
νος Μαρία. Ψαλμός.

Πρὸς κύριον ἐν τῷ θλίβε-
σθαί με ἐκέκραξα. καὶ εἰσή-
κουσέ μου. Κύριε ῥῦσαι τὴν ψυ-

χῆν μου ἀπὸ χειλέων ἀδίκων, καὶ
ἀπὸ γλώσσης δολίας. Τί δοθείη
σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσ-
σαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ
ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς
ἐρημικοῖς. Οἴμοι ὅτι ἡ παροικία
μου ἐμακρύνθη. κατεσκήνωσα
μετὰ τῶν σκηνωμάτων κηδάρ.
πολλὰ παρῴκησεν ἡ ψυχή μου.
Μετὰ τῶν μισούντων τὴν εἰρήνην
ἤμην εἰρηνικός. ὅταν ἐλάλουν
αὐτοῖς ἐπολέμουν με δωρεάν.
Δόξα. Καὶ νῦν. Ψαλμὸς.

Ἦρα τοὺς ὀφθαλμούς μου
εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοή-
θειά μου. Ἡ βοήθειά μου παρὰ κυ-
ρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν
καὶ τὴν γῆν. Μὴ δώῃς εἰς σάλον
τὸν πόδα σου. μὴ δὲ νυστάξοι ὁ φυ-
λάσσων σε. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ
ὑπνώσει, ὁ φυλάσσων τὸν Ἰσρα-
ήλ. Κύριος φυλάξει σε, κύριος
σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου.
Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε,
οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος
φυλάξει σε ἀπὸ παντὸς κακοῦ.

φυλάξει τὴν ψυχήν σου ὁ κύριος.
Κύριος φυλάξει τὴν εἴσοδόν σου
καὶ τὴν ἔξοδόν σου. ἀπὸ τοῦ νῦν καὶ
ἕως τοῦ αἰῶνος. Δόξα. Καὶ νῦν.

Εὐφράνθην ἐπὶ Ψαλμ.
τοῖς εἰρηκόσι μοι εἰς οἶκον
κυρίου πορευσόμεθα. Ἑστῶτες
ἦσαν οἱ πόδες ἡμῶν, ἐν ταῖς αὐ-
λαῖς σου ἱερουσαλήμ. Ἱερουσα-
λὴμ οἰκοδομουμένη ὡς πόλις. ἧς
ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ
γὰρ ἀνέβησαν αἱ φυλαί. φυλαὶ
κυρίου, μαρτύριον τῷ ἰσραήλ.

τοῦ ἐξομολογήσασθαι τῷ ὀνόμα-
τι κυρίου. Ὅτι ἐκεῖ ἐκάθισαν
θρόνοι εἰς κρίσιν. θρόνοι ἐπὶ οἶκον
Δαβίδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰ-
ρήνην τὴν ἱερουσαλήμ. καὶ εὐθηνία
τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰ-
ρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθη-
νία ἐν τοῖς πυργοβάρεσί σου. Ἕνε-
κα τῶν ἀδελφῶν μου καὶ τῶν πλη-
σίον μου, ἐλάλουν δὴ εἰρήνην πε-
ρὶ σοῦ. Ἕνεκα τοῦ οἴκου κυρίου
τοῦ θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά
σοι. Δόξα. Καὶ νῦν. Ἀμήν.

Η παρθένος μαρία προσελήφθη εἰς τὸν ἐπουράνιον θάλαμον. ἐν ᾧ ὁ βασιλεὺς τῶν βασιλέων ἐπὶ καταστέρου κάθηται θρόνου. Κεφάλαιον.

Καὶ οὕτως ἐν σιὼν ἐστηρίχθην. ἐν πόλει ἠγαπημένῃ ὁμοίως ἀνεπαυσάμην. καὶ ἐν ἱερουσαλὴμ ἡ ἐξουσία μου. Ἀπ. Τῷ θεῷ χάρις. Στί. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Ἀπ. Διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Κύριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύριε ἐλέησον. Στί. Κύ-

ριε εἰ

ριε εἰσάκουσον τῆς προσευχῆς μου. Ἀπ. Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Εὐχή.

Ὁ θεὸς ὁ τῆς αἰωνίου σωτηρίας γονίμῳ τῇ μακαρίας παρθενίᾳ μαρίας, τῷ ἀνθρωπείῳ γένει γέρα ποιησάμενος, παράσχου δεόμεθα, ὅπως αὐτὴν ὑπὲρ ἡμῶν ἐντυγχάνειν αἰσθανώμεθα. δι᾽ ἧς ἠξιώθημεν τὸν τῆς ζωῆς αὐτουργὸν ὑποδέξασθαι κύριον ἡμῶν ἰησοῦν χριστὸν τὸν υἱόν σου. Ἀπ. Ἀμήν. Ἀντί. Ἀποιτω

θεοῦ πάντες πρεσβεύειν κατα-
δέξασθε ὑπὲρ τῆς ἡμῶν σωτηρί-
ας καὶ πάντων. Στί. Εὐφραν-
θῆτε ἐπὶ κύριον, καὶ ἀγαλλιᾶσθε δί-
καιοι. Ἀντ. Καὶ καυχᾶσθε πάν-
τες οἱ εὐθεῖς τῇ καρδίᾳ. Εὐχή.

ΣΚέπε κύριε τὸν λαόν σου,
καὶ τῇ τῶν ἀποστόλων σου
πέτρου καὶ παύλου, καὶ τῇ
τῶν ἄλλων ἀποστόλων ἐπικουρίᾳ
πεποιθότα, διηνεκεῖ ἀντιλήψει
διαφύλαξον. Εὐχή.

ΟΙ ἅγιοί σου πάντες δεό-
μεθα

μεθα κύριε. καὶ τὰ λοιπά. διὰ
τοῦ κυρίου ἡμῶν. καὶ τὰ ἑξῆς.

Εἰς τὴν ϛ. Στίχος.

ὁ Θεὸς εἰς τὴν βοήθει-
άν μου πρόσχες. Ἀντ.
Κύριε εἰς τὸ βοηθῆσαί
μοι σπεῦσον. Δόξα. Καὶ νῦν.
Ὕμνος. Ὦ σωτὴρ αὐτουργέ. Καὶ τὰ
ἑξῆς. Ἀντί. Εἰς ὀσμήν. Ψαλμός.

π Ρὸς σὲ ἦρα τοὺς ὀφθαλ-
μούς μου, τὸν κατοικοῦν-

τα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀ-
φθαλμοὶ δούλων, εἰς χεῖρας τῶν
κυρίων αὐτῶν. Ὡς ὀφθαλμοὶ παι-
δίσκης, εἰς χεῖρας τῆς κυρίας αὐ-
τῆς. Οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν
πρὸς κύριον τὸν θεὸν ἡμῶν, ἕως οὗ
οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς
κύριε, ἐλέησον ἡμᾶς. ὅτι ἐπὶ πο-
λὺ ἐπλήσθημεν ἐξουδενώσεως.
Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡ-
μῶν τὸ ὄνειδος τοῖς εὐθηνοῦσι· καὶ
ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.
Δόξα. Καὶ νῦν. Ψαλμός.

εἰ μὴ

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν
εἰπάτω δὴ ἰσραήλ. εἰ μὴ ὅ-
τι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπα-
ναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄ-
ρα ζῶντας ἂν κατέπιον ἡμᾶς.
Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐ-
τοῦ ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν
κατεπόντισεν ἡμᾶς. Χείμαῤῥον
διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα δι-
ῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ
ἀνυπόστατον. Εὐλογητὸς κύριος
ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς
ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς
στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος

τῶν θηρευόντων. Η παγὶς συνε-
τρίβη. καὶ ἡμεῖς ἐρρύσθημεν. Η βο-
ήθεια ἡμῶν ἐν ὀνόματι κυρίου,
τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ
τὴν γῆν. Δόξα. Καὶ νῦν. Ψαλ-
Οἱ πεποιθότες ἐπὶ μός.
κύριον, ὡς ὄρος σιών. οὐ σα-
λευθήσεται εἰς τὸν αἰῶνα, ὁ κατοι-
κῶν ἱερουσαλήμ. Ορη κύκλῳ αὐ-
τῆς. καὶ ὁ κύριος κύκλῳ τοῦ λα-
οῦ αὐτοῦ. ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ
αἰῶνος. Οτι οὐκ ἀφήσει κύριος
τὴν ῥάβδον τῶν ἁμαρτωλῶν
ἐπὶ

ἐπὶ τὸν κλῆρον τῶν δικαίων. ὅ-
πως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι
ἐν ἀνομίαις χεῖρας αὐτῶν. Αγά-
θυνον κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς
εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκ-
κλίνοντας εἰς τὰς στραγγαλιὰς,
ἀπάξει κύριος μετὰ τῶν ἐργαζο-
μένων τὴν ἀνομίαν. εἰρήνη ἐπὶ
τὸν ἰσραήλ. Δόξα. Καὶ νῦν.
Αντί. Εἰς ὀσμὴν μύρων σου τρέ-
χομεν. νεάνιδες ἠγάπησάν σε
σφόδρα. Κεφάλαιον.
Καὶ ἐρρίζωσαν ἐν λαῷ δε-

δοξασμένῳ. καὶ εἰς τὰ μέρη τοῦ θε-
οῦ μου ἡ κληρονομία αὐτοῦ. καὶ
ἐν τῷ πληρώματι τῶν ἁγίων ἡ κα-
τοχή μου. Ἀπο· Τῷ θεῷ χάριτας.
Στι· Εὐλογημένη σὺ ἐν γυναιξί.
Ἀπο· Καὶ εὐλογημένος ὁ καρ-
πὸς τῆς κοιλίας σου. Κύριε ἐλέ-
ησον. Χριστὲ ἐλέησον. Κύριε ἐ-
λέησον. Στι· Κύριε εἰσάκουσον
τῆς προσευχῆς μου. Ἀπο· Καὶ
ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Παράσχου πανοι- Ευχ·
κτίρμων θεὲ τῇ ἡμετέ-

ρᾳ στερρότητι συμμαχίαν. ὅ-
πως τὴν τῆς ὑπεραγίας θεοτό-
κου μνήμην τελοῦντες, τῇ τῶν ἐν-
τεύξεων αὐτῆς βοηθείᾳ ἀπὸ τῶν
ἡμετέρων ἀνομιῶν ἀναστῶμεν.
διὰ τοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.
Ἀπο· Ἀμήν. Αντι· Ἅγιοι τοῦ θε-
οῦ πάντες πρεσβεύειν καταδέ-
ξασθε ὑπὲρ τῆς ἡμῶν σωτηρίας
καὶ πάντων. Στι· Εὐφράνθητε ἐ-
πὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι.
Ἀπο· Καὶ καυχᾶσθε πάντες οἱ
εὐθεῖς τῇ καρδίᾳ. Ευχ· Εἰσα-

κουσον ἡμῶν. Ἐ τὰ ἑξῆς. Ευχή.
Εἰσάκουσον ἡμῶν. καὶ τὰ ἑξῆς.
Οἱ ἅγιοι. καὶ τὰ λοιπά. Διὰ τοῦ
κυρίου ἡμῶν. καὶ τὰ ἑξῆς.

Εἰς τὴν. θ΄. Στίχος.

Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες. Ἀντί.
Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Δόξα. Καὶ νῦν.
Εἰς τὸ τέλος. Ἀλληλούϊα.

Ὕμνος.

Ὕμνος. Ὦ σωτηρίας αὐτουργέ. καὶ τὰ ἑξῆς. Ἀντί. Καλῆς. Ψαλμός.

Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν. καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν. ἐμεγάλυνε κύριος μετ' αὐτῶν. Ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν. ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάρρους

ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δά-
κρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πο-
ρευόμενοι ἐπορεύοντο καὶ ἔκλαι-
ον, βάλλοντες τὰ σπέρματα αὐ-
τῶν. Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀ-
γαλλιάσει, αἴροντες τὰ δράγμα-
τα αὐτῶν. Δόξα. Καὶ νῦν.

Ἐὰν μὴ κύριος **Ψαλμός.**
οἰκοδομήσῃ οἶκον, εἰς μά-
την ἐκοπίασαν οἱ οἰκοδομοῦντες.
Ἐὰν μὴ κύριος φυλάξῃ πόλιν,
εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσ-
σων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρ-
θρί

θρίζειν. ἐγείρεσθε μετὰ τὸ καθῆ-
σθαι οἱ ἐσθίοντες ἄρτον ὀδύνης.
Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐ-
τοῦ ὕπνον. ἰδοὺ ἡ κληρονομία
κυρίου οἱ υἱοί, ὁ μισθὸς τοῦ καρ-
ποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χει-
ρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετι-
ναγμένων. Μακάριος ἀνὴρ ὃς
πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ
ἐξ αὐτῶν. οὐ καταισχυνθήσονται
ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν
ἐν πύλαις. Δόξα. Καὶ νῦν.

Ψαλμός.

Μακάριοι πάντες οἱ φο-
βούμενοι τὸν κύριον· οἱ
πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐ-
τοῦ. Τοὺς πόνους τῶν καρπῶν
σου φάγεσαι· μακάριος εἶ. καὶ κα-
λῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμ-
πελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι
τῆς οἰκίας σου. Οἱ υἱοί σου ὡς νεό-
φυτα ἐλαιῶν κύκλῳ τῆς τραπέ-
ζης σου. Ἰδοὺ οὕτως εὐλογηθήσε-
ται ἄνθρωπος ὁ φοβούμενος τὸν
κύριον. Εὐλογήσαισε κύριος ἐκ
σιών. Καὶ ἴδοις τὰ ἀγαθὰ ἱερου-
σαλὴμ

σαλὴμ πάσας τὰς ἡμέρας τῆς
ζωῆς σου. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν
σου εἰρήνη ἐπὶ τὸν ἰσραήλ. Δό-
ξα. αἰνῶ. Αντίφ. Καλὴ ὑ-
πάρχεις ἡ ὡραία θυγάτηρ ἱε-
ρουσαλὴμ φοβερὰ ὡς στρατοπέ-
δων παράταξις τεταγμένη. Κε.

Ἐν ταῖς πλατεί φαλαι·
αις ὡς κιννάμωμον καὶ
βάλσαμον ἀρωματίζον, δέδωκα
ὀσμήν. καὶ ὡς σμύρνα ἐκλεκτὴ δέ-
δωκα ἡδύτητα ὀσμῆς. Αντ. Τῷ
θεῷ χάριτας. Στίχ. Μετὰ τόκον

παρθένος ἄφθορος διέμεινας.
Ἀντ. Θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν. Κύριε ἐλέησον. Χριστὲ ἐλέησον. Κύριε ἐλέησον. Στίχος. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Ἀπό. Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Εὐχή.

Τοῖς τῶν θεραπόντων σου δεόμεθα κύριε παραπτώμασι σύγγνωθι, ὅπως οἱ ἀρέσειν σοι ἐκ τῶν ἡμετέρων πράξεων μὴ ἰσχύοντες, τῇ τῆς μητρὸς τοῦ υἱοῦ σου κυρίου ἡμῶν ἐντεύ-

ξει σω-

ξει σωθείημεν. διὰ αὐτοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἀπό. Ἀμήν.
Ἀντ. Ἅγιοι τοῦ θεοῦ πάντες πρεσβεύειν καταδέξασθε ὑπὲρ τῆς ἡμῶν καὶ πάντων σωτηρίας. Στίχ. Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι. Ἀπό. Καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Εὐχή.

Παράσχου δεόμεθα παντοδύναμε θεέ, μὴ δὲ μιᾷ συγχύσει συνθλάσθαι. οὓς ἐπὶ τῇ τῆς ἀποστολικῆς ὁμολογίας

πέρα ἐστερέωσας. Εὐχή. Οἱ ἅγιοι
σου. καὶ τὰ ἑξῆς. διὰ τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ.

Εἰς τὸν ἑσπερινόν.

Ὁ Θεὸς εἰς τὴν βοήθει-
άν μου πρόσχες. Ἀντίφ.
Κύριε εἰς τὸ βοηθῆσαί
μοι σπεῦσον. Δόξα. Καὶ νῦν. Εἰς
τὸ τέλος ἀλληλούϊα. Ἀντίφ. Κα
τακλινομένου.

ψαλμός

Ψαλμός.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ
μου κάθου ἐκ δεξιῶν μου
Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο
πόδιον τῶν ποδῶν σου. Ῥάβδον
δυνάμεως ἐξαποστελεῖ σοι κύριος
ἐκ σιὼν καὶ κατακυρίευε ἐν μέ
σῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ
ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου
ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου
ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννη
σά σε. Ὤμοσε κύριος καὶ οὐ μεταμε
ληθήσεται. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα

κατὰ

κατὰ τὴν τάξιν μελχισεδέκ.
Κύριος ἐκ δεξιῶν σου συνέθλα-
σεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασι-
λεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι. πλη-
ρώσει πτώματα. συνθλάσει κε-
φαλὰς ἐπὶ γῆς πολλῶν. Ἐκ χει-
μάῤῥου ἐν ὁδῷ πίεται. διὰ τοῦτο
ὑψώσει κεφαλήν. Δόξα. Καὶ
νῦν. Ἀντ. Κατακλινομένου τοῦ βα-
σιλέως ἡ νάρδος μου ἔδωκεν ἡδύτητα
εὐωδί. Ἀντ. Ἡ εὐώνυμος αὐτοῦ.
Αἰνεῖτε παῖδες. Ψαλμός.
Αἰνεῖτε παῖδες κύριον. αἰνεῖτε τὸ ὄνομα κυρίου.
εἴη

Εἴη τὸ ὄνομα κυρίου εὐλογημέ-
νον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶ-
νος. Ἀπὸ ἀνατολῶν ἡλίου μέ-
χρι δυσμῶν, αἰνετὸν τὸ ὄνομα κυ-
ρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη
ὁ κύριος ἐπὶ τοὺς οὐρανοὺς ἡ δό-
ξα αὐτοῦ. Τίς ὡς κύριος ὁ θεὸς
ἡμῶν. ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ
τὰ ταπεινὰ ἐφορῶν. ἐν τῷ οὐρα-
νῷ καὶ ἐν τῇ γῇ. Ὁ ἐγείρων ἀπὸ
γῆς πτωχόν. καὶ ἀπὸ κοπρίας ἀνυ-
ψῶν πένητα. Τοῦ καθίσαι αὐ-
τὸν μετὰ ἀρχόντων. μετὰ ἀρ-

χόντων λαοῦ αὐτοῦ. Ὁ κατοικί-
ζων στεῖραν ἐν οἴκῳ μητέρα ἐπὶ τέ-
κνοις εὐφραινομένην. Δόξα.
Καὶ νῦν. Ἀντί. Ἡ εὐώνυμος αὐ-
τοῦ ὑπὸ τὴν κεφαλήν μου καὶ
ἡ δεξιὰ αὐτοῦ περιπλέξεταί με.
Ἀντί. Μέλαινά εἰμι. Ψαλμός.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκό-
σι μοι, εἰς οἶκον κυρίου πορευ-
σόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες
ἡμῶν ἐν ταῖς αὐλαῖς σου ἱερου-
σαλήμ. Ἱερουσαλὴμ οἰκοδομου-
μένη ὡς πόλις· ἧς ἡ μετοχὴ αὐ-
τῆς

τῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβη-
σαν αἱ φυλαί· φυλαὶ κυρίου μαρ-
τύριον τῷ ἰσραήλ· τοῦ ἐξομολο-
γήσασθαι τῷ ὀνόματι κυρίου.
Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρί-
σιν· θρόνοι ἐπὶ οἶκον Δαυΐδ. Ἐρω-
τήσατε δὴ τὰ εἰς εἰρήνην τὴν ἱε-
ρουσαλήμ· καὶ εὐθηνία τοῖς ἀγα-
πῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ
δυνάμει σου· καὶ εὐθηνία ἐν ταῖς
πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀ-
δελφῶν μου καὶ τῶν πλησίον μου
ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνε-

κα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡ-
μῶν ἐξεζήτησα ἀγαθά σοι. Δό-
ξα καὶ νῦν. Ἀντί. Μέλαινά εἰμι
θυγάτηρ ἱερουσαλήμ. Διὰ τοῦ-
το ἠγάπησέ με ὁ βασιλεύς. καὶ εἰσή-
νεγκέ με εἰς τὸ ταμιεῖον αὐτοῦ.
Ἀντί. Ἡ δὴ ὁ χειμών. Ψαλμὸς

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκο-
πίασαν οἱ οἰκοδομοῦντες. ἐὰν μὴ
κύριος φυλάξῃ πόλιν, εἰς μά-
την ἠγρύπνησεν ὁ φυλάσσων.
Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν.
ἐγεί

ἐγείρεσθε μετὰ τὸ καθῆσθαι οἱ ἐ-
σθίοντες ἄρτον ὀδύνης. Ὅταν δῷ
τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. ἰ-
δοὺ ἡ κληρονομία κυρίου οἱ υἱοί.
ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.
Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕ-
τως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
Μακάριος ὃς πληρώσει τὴν ἐπι-
θυμίαν αὐτοῦ ἐξ αὐτῶν. οὐ κα-
ταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς
ἐχθροῖς αὐτῶν ἐν πύλαις. Δό-
ξα. καὶ νῦν. Ἀντί. Ἡ δὴ ὁ χει-
μὼν παρῆλθεν. ὁ ὄμβρος ἀπῆλ-

θε καὶ ἀνεχώρησεν. ἀνάστα ἡ ἀγαπη-
τή μου καὶ πρόσελθε. Αντί. Ωραιώ-
θης. Ψαλμός.

Ἐπαίνει ἱερουσαλὴμ τὸν
κύριον. αἴνει τὸν θεόν σου σιών.
Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν
πυλῶν σου. εὐλόγησε τοὺς υἱούς σου
ἐν σοί. Ὁ τιθεὶς τὰ ὅριά σου εἰρή-
νην. καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.
Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ
τῇ γῇ ἕως τάχους δραμεῖται ὁ
λόγος αὐτοῦ. Διδόντος χιόνα αὐ-
τοῦ ὡσεὶ ἔριον. ὁ μίχλην ὡσεὶ σπο-
δὸν πάσ

δὸν πάσσοντος. Βάλλοντος κρύ-
σταλλον αὐτοῦ ὡσεὶ ψωμούς. κατὰ
πρόσωπον ψύχους αὐτοῦ τίς ὑπο-
στήσεται. Ἐξαποστελεῖ τὸν λόγον
αὐτοῦ καὶ τήξει αὐτά. πνεύσει τὸ
πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕ-
δατα. Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐ-
τοῦ τῷ ἰακώβ. δικαιώματα καὶ
κρίματα αὐτοῦ τῷ ἰσραήλ.
Οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει.
καὶ τὰ κρίματα αὐτοῦ, οὐκ ἐδή-
λωσεν αὐτοῖς. Δόξα. Καὶ νῦν.
Αντί. Ωραιώθης ἡδύνθης ἐν τρυ-

φαῦσ σου θεοτόκε ὑπεραγία. Κεφάλαι(ον) θ'.

Ἀπ' ἀρχῆς καὶ πρὸ τῶν αἰώνων ἐκτίσθην. καὶ ἕωσ τοῦ αἰῶνοσ, οὐ μὴ ἐκλίπω. ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα. Ἀπο. Τῷ θεῷ χάριστουσ.

Ὕμνοσ.

Χαῖρε θαλάσσησ ἄστρον. ἱερὰ θεοῦ μήτηρ. ἀειπάρθενέ τε. μάκαιρα πόλου πύλη. Ἡ τὸ χαῖρε ἀκοῦσα. γαβριὴλ στόματι, στερέωσον ἡμᾶς ἐν εἰρήνῃ. τρέπουσ' εὔασ κλῆσιν. Λῦε νόχοις πέδασ. φῶς τυφλοῖς

τυφλοῖς

τυφλοῖς παράσχου. ἡμῶν κακὰ δίωκε. αἴτει χρηστὰ πάντα. Δεῖξον εἶναι μήτηρ. λιτάζου τὸν χάριν ἡμῶν γεννηθέντα. καὶ σὸν εἶναι τλάντα. Ὦ μόνη παρθένε. προσηνὴς ἐν πᾶσι τοῖς. ἡμ(ᾶς) ἀνεγκλήτους πραεῖς ἁγνοὺς τέλει. Δὸς ἄῤῥυπον βίον. τρίβον ἀσφάλιζου. ὡς Ἰησοῦν ὁρῶντες, ἀεὶ συγκαθῶμεν. Ἡ τῷ θεῷ δόξα, πατρὶ χριστῷ κλέος. πνεύματι ἁγίῳ, τρισὶ τιμὴ μία. Ἀμήν.

Στίχος. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Ἀπο. Διὰ τοῦτο εὐλόγησέ

σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Ἀντ. Μα-
καρία μήτηρ. Ὠδὴ θ. τῆς θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου
τὸν κύριον. καὶ ἠγαλ-
λίασε τὸ πνεῦμά μου
ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπεί-
νωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ
γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με
πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατός. καὶ ἅγιον τὸ
ὄνομα αὐτοῦ. Καὶ τὸ ἔλεος αὐ-
τοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φο-
βουμέ

βουμένοις αὐτόν. Ἐποίησε κράτος
ἐν βραχίονι αὐτοῦ. Διεσκόρπι-
σεν ὑπερηφάνους διανοίᾳ καρ-
δίας αὐτῶν. Καθεῖλε δυνά-
στας ἀπὸ θρόνων καὶ ὕψωσε τα-
πεινούς. Πεινῶντας ἐνέπλησεν ἀ-
γαθῶν. καὶ πλουτοῦντας ἐξαπέστει-
λε κενούς. Ἀντελάβετο Ἰσραὴλ
παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους
καθὼς ἐλάλησε πρὸς τοὺς πατέ-
ρας ἡμῶν τῷ Ἀβραὰμ καὶ τῷ
σπέρματι αὐτοῦ, ἕως αἰῶνος. Δό-
ξα. καὶ νῦν. Ἀντ. Μακαρία

μήτηρ καὶ παρθένε ἀνύμφευτε.
ἔνδοξε δέσποινα τοῦ κόσμου. ἐν-
τύγχανε ὑπὲρ ἡμῶν πρὸς κύριον
Κύριε ἐλέησον. Χριστὲ ἐλέησον.
Κύριε ἐλέησον. Στί. Κύριε εἰσά-
κουσον τῆς προσευχῆς μου. Απο.
Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.
Παράσχου τοῖς σοῖς Ευχή
οἰκέταις ἡμῖν δεόμεθα
κύριε ὁ θεὸς διηνεκεῖ νοῦ τε καὶ σώ-
ματος ὑγείᾳ ἐνευθυμεῖν, καὶ τῇ
ἐνδόξῳ τῆς μακαρίας καὶ ἀει-
παρθένου μαρίας ἐντεύξει, ἀ-
πὸ τῆς

πὸ τῆς ἐνεστώσης ἀθυμίας ῥυ-
σθῆναι, καὶ τῆς αἰωνίου εὐφροσύ-
νης ἐπαπολαύειν. διὰ χριστοῦ τοῦ
κυρίου ἡμῶν. Απο. Αμήν.
Αντί. Αγιοι τοῦ θεοῦ πάντες πρέσ-
βεύσατε καταδέξασθε ὑπὲρ τῆς ἡ-
μῶν σωτηρίας καὶ πάντων. Στί.
Ευφράνθητε ἐπὶ κύριον καὶ ἀ-
γαλλιᾶσθε δίκαιοι. Απ. Καὶ
καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρ-
δίᾳ. Ευχή.
Σκέπε κύριε τὸν λαόν σου
σὺν τῇ τῶν ἀποστόλων σου πέτρου καὶ

παύλου, καὶ τῇ τῶν ἄλλων ἀπο-
στόλων βοηθείᾳ πεποιθότα, διηνε-
κεῖ ἀντιλήψει διαφύλαξον. εὐχή.
Οἱ ἅγιοί σου πάντες δεόμεθα. Ἀπὸ
τὰ ἔξω. Διὰ τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ. καὶ τὰ λοιπά.

Εἰς τὸ ἀπόδειπνον.

Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς
ὁ σωτὴρ ἡμῶν. Ἀπό.
Καὶ ἀπόστρεψον τὸν
θυμόν σου ἀφ᾽ ἡμῶν. Ὁ θεὸς εἰς τὴν
βοήθειάν μου πρόσχες. Ἀπό. Κύ-
ριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.
Δόξα. Καὶ νῦν. Εἰς τὸ τέλος

ἀλληλούϊα. Ψαλμός.

Πλεονάκις ἐπολέμησάν
με ἐκ νεότητός μου. εἰπάτω
δὴ ἰσραήλ. Γλεονάκις ἐπο-
λέμησάν με ἐκ νεότητός μου. καὶ
γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν
νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτω-
λοί. ἐμάκρυναν τὴν ἀνομίαν αὐ-
τῶν. Κύριος δίκαιος συνέκο-
ψεν αὐχένας ἁμαρτωλῶν. αἰσχυν-
θήτωσαν καὶ ἀποστραφήτωσαν εἰς
τὰ ὀπίσω πάντες οἱ μισοῦντες σι-
ών. Γενηθήτωσαν ὡσεὶ χόρτος δω-

ματων. ὃς πρὸ τοῦ ἐκσπασθῆναι
ἐξηράνθη. Οὗ οὐκ ἐπλήρωσε τὴν
χεῖρα αὐτοῦ ὁ θερίζων. Καὶ τὸν κόλ
πον αὐτοῦ ὁ τὰ δράγματα συλλέ
γων. Καὶ οὐκ εἶπαν οἱ παράγον
τες. εὐλογία κυρίου ἐφ' ὑμᾶς. εὐ
λογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυ
ρίου. Δόξα. Καὶ νῦν. Ψαλμός.

Ἐκ βαθέων ἐκέκραξά σοι
κύριε εἰσάκουσον τῆς φωνῆς
μου. Γενηθήτω τὰ ὦτά σου προσέ
χοντα, εἰς τὴν φωνὴν τῆς δεήσε-
ώς μου. Ἐὰν ἀνομίας παρατη
ρήσης

ρήσης κύριε. κύριε τίς ὑποστήσε
ται. Ὅτι παρὰ σοὶ ὁ ἱλασμός
ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέ
μεινά σε κύριε. Ὑπέμεινεν ἡ ψυ
χή μου εἰς τὸν λόγον σου. ἤλπισεν ἡ
ψυχή μου ἐπὶ τὸν κύριον. Ἀπὸ
φυλακῆς πρωΐας μέχρι νυκτός.
ἀπὸ φυλακῆς πρωΐας ἐλπισά
τω ἰσραὴλ ἐπὶ τὸν κύριον. Ὅτι
παρὰ τῷ κυρίῳ τὸ ἔλεος. Καὶ πολ
λὴ παρ' αὐτῷ λύτρωσις. Καὶ αὐ
τὸς λυτρώσεται τὸν ἰσραὴλ ἐκ
πασῶν τῶν ἀνομιῶν αὐτοῦ. Δό
ξα.

ζα. καὶ νῦν. Ψαλμός.

Κύριε οὐχ ὑψώθη ἡ καρδία
μου οὐδὲ ἐμετεωρίσθησαν
οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύ-
θην ἐν μεγάλοις. οὐδὲ ἐν θαυμασί-
οις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρό-
νουν. ἀλλὰ ὕψωσα τὴν ψυχήν
μου. Ὡς τὸ ἀπογεγαλακτισμένον
ἐπὶ τὴν μητέρα αὐτοῦ. Ὡς ἀν-
ταπόδωσεις ἐπὶ τὴν ψυχήν μου.
Ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύρι-
ον. ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶ-
νος. Δόξα. Καὶ νῦν. Ὕμνος.

ὦ σω

Ὦ σωτηρίας αὐτουργέ. Καὶ τὰ λοι.

Ἐπὶ Κεφάλαιον. Ο

Ἐγὼ μήτηρ τῆς ἀγαπήσε-
ως τῆς καλῆς. καὶ φόβου καὶ γνώ-
σεως. καὶ τῆς ὁσίας ἐλπίδος. Ἀπό.
Τῷ θεοχαρίτωσα. Στί. Εὔχου
ὑπὲρ ἡμῶν ἁγία θεοτόκε. Ἀπό.
Ὅπως ἀξιωθῶμεν τῶν ἐπαγγελι-
ῶν τοῦ χριστοῦ. Ἀντί. Ὑπὸ τὴν
σὴν βοήθειαν. Ὠδὴ συμεών.

Νῦν ἀπολύεις τὸν δοῦλόν
σου δέσποτα κατὰ τὸ ῥῆ-
μά σου ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀ-

φθαλμοί μου τὸ σωτήριόν σου.
Ὃ ἡτοίμασας κατὰ πρόσωπον
πάντων τῶν λαῶν. Φῶς εἰς ἀποκά
λυψιν ἐθνῶν. καὶ δόξαν λαοῦ σου ἰσ
ραήλ. Δόξα. καὶ νῦν. Ἀντ.
Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύ
γομεν θεοτόκε ὑπεραγία. τὰς ἡ
μῶν ἱκεσίας μὴ παρίδῃς ἐν περι
στάσει. ἀλλ' ἐκ κινδύνων πάντων
λύτρωσαι ἡμᾶς. ἀειπάρθενε. ἔνδο
ξε. εὐλογημένη. Κύριε ἐλέησον.
Χριστὲ ἐλέησον. Κύριε ἐλέησον.
Στίχ. Κύριε εἰσάκουσον τῆς προ

σευχῆς

σευχῆς μου. Ἀντ. Καὶ ἡ κραυγή
μου πρός σὲ ἐλθέτω. Εὐχή.
Ἡ τῆς μακαρίας καὶ ὑπερεν
δόξου καὶ ἀειπαρθένου μα
ρίας ἔνδοξος μεσιτεία δεόμεθα
κύριε σκεπέτω ἡμᾶς, καὶ εἰς τὴν
αἰώνιον ἀγαγέτω ζωήν. διὰ χρι
στοῦ τοῦ κυρίου ἡμῶν. Ἀπ. Ἀμήν
Ἀντ. Ἅγιοι τοῦ θεοῦ πάντες πρεσβεύ
ειν καταδέξασθε ὑπὲρ τῆς ἡμῶν σωτηρί
ας καὶ πάντων. Στίχ. Εὐφράνθητε
ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι
Ἀπ. Καὶ καυχᾶσθε πάντες οἱ

ἐνθεὶς τῇ καρδίᾳ. Στί. Εἰσά-
κουσον ἡμῶν. Εὐχή.

Οἱ ἅγιοί σου πάντες. καὶ τὰ λοιπά.

Αἶρε δέσποινα μή- Ὠδή.
τερ ἐλέους ζωὴ γλυκύτης.
καὶ ἐλπὶς ἡμῶν χαῖρε. πρὸς σὲ κο-
ῶμεν οἱ τῆς εὔας ἐξόριστοι παῖδες
πρὸς σὲ ἀτενίζομεν στενάζοντες καὶ
θρηνοῦντες ἐν τῇ δὲ τῇ τοῦ κλαυθ-
μῶνος κοιλάδι. ἄγε δὴ συνήγορε
ἡμῶν τοὺς εὐσπλάγχνους σου ὀφθαλ-
μοὺς ἐφ' ἡμᾶς ἐπίστρεψον. καὶ ἰη-
σοῦν τὸν εὐλογημένον καρπὸν τῆς
κοιλίας.

κοιλίας σου, μετὰ τὴν ὑπερορί-
αν ταύτην ἡμῖν ἀνάδειξον ὦ ἐπιει-
κής. ὦ εὔσπλαγχνε. ὦ ἡδεῖα παρ-
θένε μαρία. Στί. Εὔχου ὑπὲρ ἡ-
μῶν θεοτόκε ὑπεραγία. Ἀπό.
Ὅπως ἀξιωθῶμεν τῶν ἐπαγγε-
λιῶν τοῦ χριστοῦ. Εὐχή.

Παντοκράτορ ἀΐδιε θεέ. ὁ
τῆς ἐνδόξου παρθενομήτο-
ρος μαρίας σῶμά τε καὶ ψυχὴν,
ὥστε ἐπάξιον τοῦ υἱοῦ σου κατα-
σκήνωμα γενέσθαι συνεργείᾳ τοῦ
ἁγίου πνεύματος προετοιμά-

σας, παράσχου ἡμῖν τῇ μνήμῃ χαί-
ρομεν, ταύτης τῇ εὐσπλάγχνῳ
μεσιτείᾳ ἀπὸ τῶν ἐπικειμένων δει-
νῶν ἐκ τοῦ αἰωνίου θανάτου ῥυσθῶ-
μεν. διὰ τοῦ χριστοῦ τοῦ κυρίου
ἡμῶν. Απο. Αμήν. Ὁ ψαλμὸς
οὗτος καὶ οἱ ἐπακολουθοῦντες.
Δύο λέγονται τῇ τρίτῃ καὶ παρα-
σκευῇ εἰς τὸν ὄρθρον. Αντίφωνον.
Τῇ ὡραιότητί σου. Ψαλμοί.

Εξηρεύξατο ἡ καρδία μου
λόγον ἀγαθόν. λέγω ἐγὼ
τὰ ἔργα μου τῷ βασιλεῖ. Η γλῶσ-
σά μου

σά μου κάλαμος γραμματέως
ὀξυγράφου. Ωραῖος κάλλει πα-
ρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Εξεχύθη χάρις ἐν χείλεσί σου. διὰ
τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰ-
ῶνα. Περίζωσαι τὴν ῥομφαίαν
σου ἐπὶ τὸν μηρόν σου δυνατέ.
Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει
σου. καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ
βασίλευε. Ενεκεν ἀληθείας καὶ
πραότητος καὶ δικαιοσύνης. καὶ
ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.
Τὰ βέλη σου ἠκονημένα δυ-

νατέ· λαοὶ ὑπὸ κάτω σου πεσοῦν-
ται· ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ
βασιλέως· Ὁ θρόνος σου ὁ θεὸς
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐ-
θύτητος ἡ ῥάβδος τῆς βασιλείας
σου· Ἠγάπησας δικαιοσύνην καὶ
ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔ-
χρισέ σε ὁ θεὸς ὁ θεός σου, ἔλαιον
ἀγαλλιάσεως παρὰ τοὺς μετό-
χους σου· Σμύρνα καὶ στακτὴ καὶ
κασία ἀπὸ τῶν ἱματίων σου· ἀπὸ
βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔ-
φρανάν σε· θυγατέρες βασιλέων

ἐν τῇ τιμῇ σου· Παρέστη ἡ βασί-
λισσα ἐκ δεξιῶν σου· ἐν ἱματισμῷ
διαχρύσῳ περιβεβλημένη πεποι-
κιλμένη· Ἄκουσον θύγατερ καὶ
ἴδε καὶ κλῖνον τὸ οὖς σου· καὶ ἐπι-
λάθου τοῦ λαοῦ σου· καὶ τοῦ οἴκου τοῦ
πατρός σου· Καὶ ἐπιθυμήσει ὁ
βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐ-
τός ἐστι κύριός σου καὶ προσκυνή-
σεις αὐτῷ· Καὶ θυγατέρες Τύρου
ἐν δώροις τὸ πρόσωπόν σου λιτα-
νεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ

βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς
χρυσοῖς περιβεβλημένη πεποι-
κιλμένη. Ἀπενεχθήσονται τῷ
βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς· αἱ
πλησίον αὐτῆς ἀπενεχθήσονταί
σοι. Ἀπενεχθήσονται ἐν εὐφροσύ-
νῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς
ναὸν βασιλέως. Ἀντὶ τῶν πατέ-
ρων σου ἐγεννήθησαν οἱ υἱοί σου· κα-
ταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ
πᾶσαν τὴν γῆν. Μνησθήσονται
τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ
καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξο-
μολογή

σονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος. Δόξα. Καὶ νῦν.
Ἀντί. Τῇ ὡραιότητί σου καὶ τῷ
κάλλει σου· καὶ ἔντεινε καὶ κατευο-
δοῦ καὶ βασίλευε. Ἀντί. Βοηθήσει
αὐτῇ. Ψαλμός.
Ὁ Θεὸς ἡμῶν καταφυγὴ
καὶ δύναμις· βοηθὸς ἐν θλίψεσι
ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν
τῷ ταράσσεσθαι τὴν γῆν· καὶ με-
τατίθεσθαι ὄρη ἐν καρδίαις θα-
λασσῶν. Ἤχησαν τὰ ὕδατα αὐ

τῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ
κραταιότητι αὐτοῦ. Τοῦ ποτα-
μοῦ τὰ ὁρμήματα εὐφραίνουσι
τὴν πόλιν τοῦ θεοῦ. ἡγίασε τὸ σκή-
νωμα αὐτοῦ ὁ ὕψιστος. Ὁ θεὸς ἐν μέ-
σῳ αὐτῆς καὶ οὐ σαλευθήσεται. βοηθήσει
αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωὶ πρωΐ.
Ἐταράχθησαν ἔθνη ἔκλιναν βα-
σιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψι-
στος. ἐσαλεύθη ἡ γῆ. Κύριος τῶν
δυνάμεων μεθ' ἡμῶν ἀντιλήπτωρ
ἡμῶν ὁ θεὸς ἰακώβ. Δεῦτε καὶ ἴδε-
τε τὰ ἔργα τοῦ θεοῦ. ἃ ἔθετο τέ-

ρατα

ρατα ἐπὶ τῆς γῆς. ἀνταναιρῶν
πολέμους μέχρι τῶν περάτων τῆς
γῆς. Τόξον συντρίψει καὶ συνθλάσει
ὅπλον. καὶ θυρεοὺς κατακαύσει
ἐν πυρί. Σχολάσατε καὶ γνῶτε
ὅτι ἐγώ εἰμι ὁ θεός. ὑψωθήσομαι
ἐν τοῖς ἔθνεσιν. ὑψωθήσομαι ἐν τῇ
γῇ. Κύριος τῶν δυνάμεων μεθ' ἡ-
μῶν. ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς
ἰακώβ. Δόξα. Καὶ νῦν. Ἀντί.
Βοηθήσει αὐτῇ ὁ θεὸς τῷ πρὸς
πρωῒ πρωΐ ὁ θεὸς ἐν μέσῳ αὐτῆς καὶ
οὐ σαλευθήσεται. Ἀντί. Ὡς ἀ

φραινομένων. Ψαλμὸς.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς
ὄρεσι τοῖς ἁγίοις. ἀγαπᾷ
κύριος τὰς πύλας σιών. ὑπὲρ πάν-
τα τὰ σκηνώματα ἰακώβ. Δε-
δοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πό-
λις τοῦ θεοῦ. Μνησθήσομαι ῥαὰβ
καὶ βαβυλῶνος τοῖς γινώσκουσί με.
Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ τύρος
καὶ λαὸς τῶν αἰθιόπων. οὗτοι ἐγεν-
νήθησαν ἐκεῖ. Μήτηρ σιὼν ἐρεῖ
ἄνθρωπος. καὶ ἄνθρωπος ἐγεννήθη
ἐν αὐτῇ. καὶ αὐτὸς ἐθεμελίωσεν αὐ-
τὴν ὁ ὕψι-

στος. Κύριος διηγήσεται
ἐν γραφῇ λαῶν. καὶ ἀρχόντων τού-
των. τῶν γεγενημένων ἐν αὐτῇ.
Ὡς εὐφραινομένων πάντων ἡ
κατοικία ἐν σοί. Δόξα. Καὶ νῦν.
Ἀντί. Ὡς εὐφραινομένων πάν-
των ἡμῶν ἡ κατοικία ἐν σοὶ θεο-
τόκε ὑπεραγία. Στί. Ἐξεχύθη χά-
ρις ἐν χείλεσί σου. Ἀπό. Διὰ
τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰ-
ῶνα. Πάτερ ἡμῶν. καὶ τὰ ἑξῆς.
Εὐχή. Ταῖς δεήσεσι καὶ τοῖς χαίρε-
σι. καὶ τὰ ἑξῆς. Ὡς ἀνωτέρω, ὁ
ψαλμὸς

Ψαλμὸς οὗτος καὶ οἱ ἑξῆς δύο, λέ-
γονται τῇ δ΄. ἐν τῷ σαββάτῳ εἰς τὸν
ὄρθρον. Ἀντί. Χαῖρε παρθέ-
νε μαρία. Ψαλμός

Ἄσατε τῷ κυρίῳ ᾆσμα και-
νόν. ᾄσατε τῷ κυρίῳ πᾶσα
ἡ γῆ. Ἄσατε τῷ κυρίῳ. εὐλογήσα-
τε τὸ ὄνομα αὐτοῦ. Εὐαγγελίζε-
σθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον
αὐτοῦ. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι
τὴν δόξαν αὐτοῦ. ἐν πᾶσι τοῖς λα-
οῖς τὰ θαυμάσια αὐτοῦ. Ὅτι μέ-
γας κύριος καὶ αἰνετὸς σφόδρα.

Φοβε-

Φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς
θεούς. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν
δαιμόνια. ὁ δὲ κύριος τοὺς οὐρα-
νοὺς ἐποίησεν. Ἐξομολόγησις καὶ
ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιω-
σύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγι-
άσματι αὐτοῦ. ἐνέ γκατε τῷ κυ-
ρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν. ἐνέγκατε
τῷ κυρίῳ δόξαν καὶ τιμήν. Ἐνέγ-
κατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐ-
τοῦ. Ἄρατε θυσίας, καὶ εἰσπο-
ρεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. προσ-
κυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ

αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώ-
που αὐτοῦ πᾶσα ἡ γῆ. εἴπατε ἐν
τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευ-
σε. Καὶ γὰρ κατώρθωσε τὴν οἰκου-
μένην, ἥτις οὐ σαλευθήσεται. κρι-
νεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφραν-
θήτωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιά-
σθω ἡ γῆ. σαλευθήτω ἡ θάλασσα καὶ
τὸ πλήρωμα αὐτῆς. χαρήσεται
τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς.
Τότε ἀγαλλιάσονται πάντα
τὰ ξύλα τοῦ δρυμοῦ. ἀπὸ προ-
σώπου κυρίου, ὅτι ἔρχεται. ὅτι ἔρ-

χεται

χεται κρῖναι τὴν γῆν. κρινεῖ τὴν
οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ λαοὺς
ἐν τῇ ἀληθείᾳ αὐτοῦ. Δόξα. Καὶ
νῦν. Ἀντί. Χαῖρε παρθένε μα-
ρία. ἡ μόνη τὰς αἱρέσεις ἁπάσας
ἀφανίσασα ἐν παντὶ τῷ κόσμῳ.
Ἀντί. Ἀξίωσόν με. Ψαλμός.

Ὁ Κύριος ἐβασίλευσεν, ἀ-
γαλλιάσθω ἡ γῆ. εὐφραν-
θήτωσαν νῆσοι πολλαί. Νεφέ-
λη καὶ γνόφος κύκλῳ αὐτοῦ. δι-
καιοσύνη καὶ κρίμα κατόρθω-
μα τοῦ θρόνου αὐτοῦ. Πῦρ ἐνώπι

ον αὐτοῦ προπορεύσεται. καὶ φλο-
γιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.
Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ
οἰκουμένῃ. εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.
Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀ-
πὸ προσώπου κυρίου. ἀπὸ προ-
σώπου κυρίου πάσης τῆς γῆς.
Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιο-
σύνην αὐτοῦ. καὶ εἴδοσαν πάντες
οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Αἰσχυν-
θήτωσαν πάντες οἱ προσκυνοῦν-
τες τοῖς γλυπτοῖς. οἱ ἐγκαυχώμε-
νοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσ-

κυνήσατε

κυνήσατε αὐτῷ πάντες οἱ ἄγ-
γελοι αὐτοῦ. ἤκουσε καὶ εὐφράν-
θη ἡ σιών. Καὶ ἠγαλλιάσαντο αἱ
θυγατέρες τῆς ἰουδαίας. ἕνεκεν
τῶν κριμάτων σου κύριε. Ὅτι
σὺ κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν
γῆν. σφόδρα ὑπερυψώθης ὑπὲρ
πάντας τοὺς θεούς. Οἱ ἀγαπῶν-
τες τὸν κύριον, μισεῖτε πονηρά.
Φυλάσσει κύριος τὰς ψυχὰς τῶν
ὁσίων αὐτοῦ. ἐκ χειρὸς ἁμαρτω-
λοῦ ῥύσεται αὐτούς. Φῶς ἀνέτει-
λε τῷ δικαίῳ. καὶ τοῖς εὐθέσι τῇ

καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε
δίκαιοι ἐν τῷ κυρίῳ. καὶ ἐξομο-
λογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύ-
νης αὐτοῦ. Δόξα. Καὶ νῦν.
Ἀντί. Ἀξίωσόν με ὑμνῆσαί σε κα-
θιερωμένη παρθένε. Ἀντί. Δός
μοι δύναμιν κατὰ τῶν ἐχθρῶν
σου. Ἀντί. Μετὰ τίκον. Ψαλ-
μός.
Ἄσατε τῷ κυρίῳ ᾆ-
σμα καινόν. ὅτι θαυμαστὰ
ἐποίησεν ὁ κύριος. Ἔσωσεν αὐτὸν
ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅ-
γιος αὐτοῦ. Ἐγνώρισε κύριος τὸ
σωτήριον

σωτήριον αὐτοῦ. ἐναντίον τῶν ἐθνῶν
ἀπεκάλυψε τὴν δικαιοσύνην αὐ-
τοῦ. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ
ἰακώβ. καὶ τῆς ἀληθείας αὐτοῦ τῷ
οἴκῳ ἰσραήλ. Εἴδοσαν πάντα
τὰ πέρατα τῆς γῆς τὸ σωτήρι-
ον τοῦ θεοῦ ἡμῶν. Ἀλαλάξα-
τε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ᾄσατε
καὶ ἀγαλλιᾶσθε καὶ ψάλατε. Ψά-
λατε τῷ κυρίῳ ἐν κιθάρᾳ καὶ φω-
νῇ ψαλμοῦ. ἐν σάλπιγξιν ἐλα-
τοῖς, καὶ φωνῇ σάλπιγγος κερα-
τίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ

βασιλέως κυρίου. σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χερσὶν ἐπὶ τὸ αὐτό. ὄρη ἀγαλλιάσεται. ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ λαοὺς ἐν εὐθύτητι.

Ἀντί. Μετὰ τόκον παρθένος ἄφθορος διέμεινας. θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν. Στί. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Ἀπό. Διὰ τοῦτο εὐλόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Πάτερ ἡμῶν. Εὐχή.

Ταῖς δεήσεσι καὶ ταῖς χάρισιν. ὡς ἀνωτέρω, εἰς τὸν ἑσπερινὸν τοῦ πρώτου σαββάτου ἀπὸ τῆς παρουσίας μέχρι τῆς παραμονῆς τῆς τοῦ κυρίου γεννήσεως, τελεῖται ἡ ἀκολουθία τῆς μακαρίας παρθένου μαρίας τῷ ὑπογεγραμμένῳ τρόπῳ. τῷ σαββάτῳ πρὸ τῆς ἀπὸ τῆς παρουσίας πρώτης κυριακῆς. εἰς τὸν ἑσπερινὸν τῆς μακαρίας παρθένου. Ἀντί. Ἀπεστάλη ὁ ἄγγελος γαβριήλ. καὶ τὰ

ἑξῆς. Σὺν τοῖς λοιποῖς ἐκ τῶν ὕμνων.
οἱ συνήθεις ψαλμοί. Κεφάλαιον.

Ἐξελεύσεται ῥάβδος ἐκ τῆς
ῥίζης ἰεσσαὶ καὶ ἄνθος ἐκ
τῆς ῥίζης ἀναβήσεται. καὶ ἐπανα-
παύσεται ἐπ' αὐτὸν πνεῦμα θεοῦ.
Ἀντ. Τῷ θεῷ χάριτας. οἱ ὕμνοι
καὶ τὰ ἔπη ὡς ἀνωτέρω εἰς τὸ με-
γαλύνει. Ἀντ. Πνεῦμα ἅγιον ἐπὶ
σὲ κατελεύσεται μαρία. μὴ φοβοῦ.
ἕξεις γὰρ ἐν γαστρὶ τὸν υἱὸν τοῦ
θεοῦ. ἀλληλούια. Εὐχή.
Ὁ θεὸς ὁ ἐκ γαστρὸς τῆς μα-
καρίας

καρίας παρθένου μαρίας. τὰ
ἑξῆς. Ἀντ. Ἰδοὺ ἄγγελος ἥξει. καὶ
πάντες οἱ ἅγιοι αὐτοῦ σὺν αὐτῷ.
καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ φῶς
μέγα. ἀλληλούια. Στίχ. Ἰδοὺ
ὀφθήσεται κύριος ἐπὶ νεφέλης
κούφης. Ἀντ. Καὶ σὺν αὐτῷ
χιλιάδες ἁγίων. Εὐχή.

Τὴν συνείδησιν ἡμῶν δεό-
μεθα κύριε ἐπισκεπτό-
μενος καθάρου. ἵνα παραγινό-
μενος ἰησοῦς χριστὸς ὁ υἱός σου κύ-
ριος δὲ ἡμῶν μετὰ πάντων τῶν

ἁγίων, ἕτοιμον ἑαυτῷ ἐν ἡμῖν εὑ-
ρήσῃ μονήν. ὃς ζῇ μετὰ σοῦ καὶ βα-
σιλεύει. εἰς αἰῶνας αἰώνων. ἀμήν.
Αἱ ἀνωτέρω λεγόμεναι εὐχαὶ καὶ
τὰ στιχίδια τῷ προλεχθέντι τρό-
πῳ λέγονται ἐν πάσαις ταῖς ὥ-
ραις εἰς τὸν ὄρθρον. τὸ προσκλη-
τικὸν τὰ αὐτά. οἱ ψαλμοί. καὶ τὰ
στιχίδια, ἀπαραλλάκτως. μέ-
χρι τῆς ἀναγνώσεως καὶ τοῦ ἑξῆς
πλὴν τοῦ αὐτοῦ. τοῦ . θ. ψαλ-
μοῦ. τουτέστι τοῦ Μετὰ τόκον.
ἀντὶ γὰρ τούτου λέγεται αὐτό.

ἄγγε

Ἄγγελος κυρίου εὐηγγελίσα-
το τῇ μαριάμ. καὶ συνέλαβεν
ἐξ ἁγίου πνεύματος. Ἀνάγνωσ

ΑΠεστάλη ὁ ἄγγελος στιχ. α.
γαβριὴλ ὑπὸ τοῦ θεοῦ, εἰς
πόλιν τῆς γαλιλαίας, ᾗ ὄνομα
ναζαρέτ, πρὸς παρθένον μεμνη-
στευμένην ἀνδρί, ᾧ ὄνομα ἰωσήφ.
ἐξ οἴκου δαδ. καὶ τὸ ὄνομα τῆς
παρθένου μαριάμ. καὶ εἰσελθὼν
ὁ ἄγγελος πρὸς αὐτήν, εἶπε. χαῖρε
κεχαριτωμένη ὁ κύριος μετὰ
σοῦ. εὐλογημένη σὺ ἐν γυναιξί.

σὺ δὲ κύριε ἐλέησον ἡμᾶς. Ἀπ.
Τῷ θεῷ χάριτας. Ἀπό. Ἀπε-
στάλη ὁ ἄγγελος γαβριὴλ πρὸς
μαριὰμ τὴν παρθένον μεμνη-
στευμένην τῷ ἰωσήφ. μηνύων αὐ-
τῇ τὸν λόγον καὶ ἐξεπλάγη ἡ παρ-
θένος ὑπὸ τοῦ φωτός. μὴ φοβοῦ
μαριάμ. εὗρες γὰρ χάριν παρὰ
τῷ θεῷ. ἰδοὺ συλλήψῃ καὶ τέξῃ
υἱόν. καὶ κληθήσεται ὑψίστου υἱός.
Στί. Δώσει αὐτῷ κύριος ὁ θεὸς
τὸν θρόνον δᾱδ τοῦ πρὸς αὐτοῦ
βασιλεύσει ἐπὶ τὸν οἶκον ἰακὼβ

εἰς

εἰς τοὺς αἰῶνας. ἰδοὺ συλλήψῃ. καὶ
τὰ ἑξῆς. Ἀνάγνωσις β.

Ἡ δὲ ἰδοῦσα διεταράχθη
ἐπὶ τῷ λόγῳ αὐτοῦ. καὶ
διελογίζετο ποταπὸς εἴη ὁ ἀσπα-
σμὸς οὗτος. καὶ εἶπεν ὁ ἄγγελος
αὐτῇ. μὴ φοβοῦ μαριάμ. εὗρες γὰρ
χάριν παρὰ τῷ θεῷ. καὶ ἰδοὺ συλ-
λήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν. καὶ
καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν.
οὗτος ἔσται μέγας. καὶ υἱὸς ὑψίστου
κληθήσεται. καὶ δώσει αὐτῷ κύ-
ριος ὁ θεὸς, τὸν θρόνον. δᾱδ

του πατρὸς αὐτοῦ. καὶ βασιλεύ-
σει ἐπὶ τὸν οἶκον ἰακὼβ εἰς τοὺς
αἰῶνας. καὶ τῆς βασιλείας αὐτοῦ
οὐκ ἔσται τέλος. Σὺ δὲ κύριε ἐλέη-
σον ἡμᾶς. Απο. Τῷ θεῷ χάριτας.
Απο. Χαῖρε κεχαριτωμένη μα-
ρία ὁ κύριος μετὰ σοῦ. πνεῦμα
ἅγιον ἐπελεύσεται ἐπὶ σέ. καὶ δύ-
ναμις ὑψίστου ἐπισκιάσει σοι. τὸ
γὰρ γεννώμενον ἐκ σοῦ ἅγιον, κλη-
θήσεται υἱὸς θεοῦ. Στι. Πῶς ἔσται
μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω.
καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν
αὐτῇ.

αὐτῇ. πνεῦμα ἅγιον. καὶ τὰ ἑξῆς.

Ανάγνωσις ἑτέρα.

Εἶπε δὲ μαριὰμ πρὸς τὸν
ἄγγελον. πῶς ἔσται μοι
τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω. καὶ
ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐ-
τῇ. πνεῦμα ἅγιον ἐπελεύσεται
ἐπὶ σέ. καὶ δύναμις ὑψίστου ἐπι-
σκιάσει σοι. διὸ καὶ τὸ γεννώμενον
ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θεοῦ.
καὶ ἰδοὺ ἐλισάβετ ἡ συγγενής σου
καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐ-
τῆς. καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ

τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυ-
νατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα
εἶπε δὲ μαριάμ· ἰδοὺ ἡ δούλη κυ-
ρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά
σου. Σὺ δὲ κύριε ἐλέησον ἡμᾶς.
Αντ. Τῷ θεῷ χάριτας. Αντ.
Υποδέξαι τὸ παρὰ τοῦ κυρίου
διαπεμφθέντος ῥῆμα δι' ἀγγέλου
παρθένε μαρία. ἰδοὺ συλλήψῃ
θεόν ὁμοῦ τε καὶ ἄνθρωπον· ἵνα
εὐλογημένη κληθῇς ἐν πάσαις
ταῖς γυναιξί. Στι. Συλλή-
ψῃ μὲν υἱόν. καὶ τῆς παρθενίας

οὐχ

οὐχ ὑποστήσῃ διαφθοράν· τέλε-
σθήσῃ ἔγγυος. καὶ μήτηρ ἀειπάρ-
θενος ἔσῃ. ἵνα εὐλογημένη κληθῇς
καὶ τὰ ἑξῆς. Δόξα. Καὶ νῦν.
Ι να εὐλογημένη. Εἰς τοὺς αὐ-
τοὺς καὶ εἰς τὰς ὥρας πάσας. Απ.
Απεστάλη ὁ ἄγγελος γαβριὴλ
πρὸς τὴν παρθένον μαριὰμ με-
μνηστευμένην ἰωσήφ. ψαλμός.
Ο κύριος ἐβασίλευσε. καὶ τὰ ἑξῆς.
Αντ. Χαῖρε κεχαριτωμένη μα-
ρία ὁ κύριος μετὰ σοῦ. εὐ-
λογημένη σὺ ἐν γυναιξίν. ἀλλη-

λουΐα. ψαλμός. Αλαλάξατε
τῷ θεῷ καὶ τὰ ἑξῆς. Αντί. Μὴ
φοβοῦ μαριάμ. εὗρες γὰρ χά-
ριν παρὰ τοῦ κυρίῳ. καὶ ἰδοὺ
συλλήψῃ καὶ τέξῃ υἱὸν ἀλληλουΐα.
ψαλμός. Ο θεὸς ὁ θεός μου. Αντί.
Δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν
θρόνον δαβὶδ τοῦ πατρὸς αὐ-
τοῦ. καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας.
Ωιδή. Ευλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον. Αντί.
Ιδοὺ ἡ δούλη κυρίου γένοιτό μοι
κατὰ τὸ ῥῆμά σου. ψαλμός. Αινεῖ-

τε τὸν

τε τὸν κύριον ἐκ τῶν οὐρανῶν.
Κεφάλαιον. Εξελεύσεται
ῥάβδος· καὶ τὰ ἑξῆς. Οἱ ὕμνοι καὶ
τὰ στιχήρια, οἱ ψαλμοὶ εἰς πά-
σας τὰς ὥρας λέγονται ὡς πρὸ
τῆς παρουσίας. πλὴν τῶν στιχη-
ρῶν τῆς θ. καὶ τοῦ ἀποδείπνου.
εἰς τὸ εὐλόγησον. Αντ. Πνεῦμα ἅ-
γιον ἐπὶ σὲ κατελεύσεται μαρία.
Αἱ εὐχαὶ ὡς ἀνώτερω ἐν τοῖς ἑσπε-
ρινοῖς. Εἰς τὴν πρώτην κεφα.

IΔοὺ ἡ παρθένος λήψεται
καὶ τέξεται υἱόν. καὶ κληθή-

σεται τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ.
Βούτυρον καὶ μέλι φάγεται τοῦ γνῶ
ναι τὸ μὴ πονηρὸν παραιτεῖσθαι
τὸ ἀγαθὸν προαιρεῖσθαι.
Αν. Τῷ θεῷ χάριτας. Αντί.
Απεστάλη. εἰς τὴν ὠ. γ'. Αντί.
Χαῖρε κεχαριτωμένη μαρία. καὶ
τὰ ἑξῆς. κεφάλαιον.
Εξελεύσεται ῥάβδος. καὶ τὰ ἑ-
ξῆς. Εἰς τὴν ὠ. ς'.
Αντίφωνον. Μὴ φοβοῦ.
Κεφάλαιον.
Δ Ωσει αὐτῷ κύριος ὁ θεὸς

τὸν

τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐ
τοῦ καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον ἰα
κὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς βασι
λείας αὐτοῦ οὐκ ἔσται τέλος.
Απο. Τῷ θεῷ χάριτας. Εἰς
τὴν ὠ. θ'. Αντί. Ιδοὺ ἡ δούλη κυρί
ου. Κεφάλαιον. Ιδοὺ ἡ παρθέ
νος. καὶ τὰ ἑξῆς. Στί. Αγγελος
κυρίου εὐηγγελίσατο τῇ μαριάμ.
Απο. Καὶ συνέλαβεν ἐξ ἁγίου
πνεύματος. Εἰς τὸν ἑσπερινόν.
Αντί. Απεστάλη. τὰ λοιπὰ ἐκ
τῶν ὡρῶν. εἶτα οἱ συνήθεις ψαλμοί.

Κεφάλαιον. Ἐξελεύσεται ῥάβδος.
Σὺν τοῖς λοιποῖς ὡς ἄνω ἐν τοῖς ἄλ-
λοις ἑσπερινοῖς. εἰς τὸ ἀπόδειπνον
Κεφάλαιον. Ἰδοὺ ἡ παρθένος.
καὶ τὰ ἑξῆς. Στί. Ἄγγελος κυ-
ρίου. Εἰς τὸ Νῦν ἀπολύεις. Ἀντ.
Πνεῦμα ἅγιον. Σημείωσαι ὅτι
ἀπὸ τῆς παραμονῆς τῆς τοῦ κυ-
ρίου γεννήσεως, μέχρι τῆς ὑπαπαν-
τῆς τῆς μακαρίας παρθένου
μαρίας, τελεῖται ἡ ἀκολουθία
καθὼς πρὸ τῶν γενεθλίων. πλὴν
ὅτι ἐν πάσαις ταῖς ὥραις λέγε-

ται. Εὐχή. Ὁ θεὸς ὁ τῆς αἰω-
νίου σωτηρίας. Καὶ τὰ ἑξῆς. προσ-
τιθεμένων πασῶν τῶν εὐχῶν. ἐν
αἷς ἀνάμνησις γίνεται τῶν ἀποστόλων
σὺν ἁγίοις εἰς πάσας τὰς ὥρας ὡς
γέγραπται ἐν τῇ πρὸ τῶν γενεθλί-
ων ἀκολουθίᾳ. Ἔτι εἰς τοὺς αἴ-
νους. Καὶ εἰς τὰς ὥρας πάσας λέγεται
Ἀντί. Ὢ συνάλλαγμα τὸ θαυμά-
σιον. ὁ κτίστης τοῦ ἀνθρωπείου γένους
σῶμα ἔμψυχον ἀναλαβὼν, ἐκ παρ-
θένου τεχθῆναι κατηξίωσε. καὶ προ-
ελθὼν ἄνθρωπος ἄνευ σπορᾶς, ἐδω-

ρήσατο ἡμῖν τὴν ἑαυτοῦ θεότη-
τα. Ἀντί. Ὅτε ἐγεννήθης ἀρρή-
τως ἐκ τῆς παρθένου, τότε ἐπλη-
ρώθησαν αἱ γραφαὶ ὡς ὑετὸς ἐπὶ
πόκον κατῆλθες, ἵνα σώσῃς τὸ ἀν-
θρώπειον γένος. σὲ αἰνοῦμεν ὁ θεὸς
ἡμῶν. Ἀντί. Βάτον ὃν εἶδε μωϋ-
σῆς ἀκατάφλεκτον τηρηθέντα,
ἐπέγνωμεν τὴν ὑπερένδοξον παρ-
θενίαν σου θεοτόκε πρέσβευε ὑ-
πὲρ ἡμῶν. Ἀντ. ἐβλάστησεν ἡ ῥί-
ζα τοῦ ἰεσσαί. ἀστὴρ ἀνέτειλεν ἐξ
ἰακώβ. καὶ ἡ παρθένος τέτοκε τὸν
σωτῆ

σωτῆρα. σὲ αἰνοῦμεν ὁ θεὸς ἡ-
μῶν. Ἀντί. Ἰδοὺ ἡ μαριὰμ γεγέννη-
κεν ἡμῖν τὸν σωτῆρα. ὃν ἰωάννης
ἰδὼν, ἀνεβόησε λέγων. ἴδε ὁ ἀ-
μνὸς τοῦ θεοῦ. ἴδε ὁ αἴρων τὴν ἁμαρ-
τίαν τοῦ κόσμου. ἀλληλούϊα. Εἰς
τὸ εὐλόγησον. Ἀντί. Θαυμαστὸν
μυστήριον φανεροῦται σήμερον.
καινοτομοῦνται φύσεις καὶ θεὸς
ἄνθρωπος γίνεται. ὅπερ ἦν διέμεινε. καὶ
ὃ οὐκ ἦν προσέλαβεν. οὐ φυρμὸν
ὑπομείνας οὐδὲ διαίρεσιν. Εἰς τὸ
μεγαλύνει. Εἰς τὸ νῦν ἀπολύεις

Ἀντί. Μεγαλοκληρονομίας μυ-
στήριον· ναὸς θεοῦ γέγονε γαστὴρ ἡ ἀ-
πείρανδρος. ἐξ ἧς οὐκ ἐμιάν-
θη ὁ σάρκα προσλαβών· πάντα
τὰ ἔθνη παραγινόμενα, ἐροῦσι δό-
ξα σοι κύριε. Ἰστέον ὅτι ἀπὸ τοῦ
ἑσπερινοῦ τοῦ μεγάλου σαββά-
του μέχρι τῆς ἀναλήψεως, τελεῖ-
ται ἡ ἀκολουθία τῆς μακαρίας
καὶ ἀειπαρθένου μαρίας, καθὰ
πρὸ τῶν γενεθλίων. πλὴν ὅτι εἰς
τὸ μεγαλύνει καὶ εἰς τὸ νῦν ἀπο-
λύεις. καὶ εἰς τὸ εὐλόγησον λέγεται
ἀντί.

Ἀντί. Ἄνασσα τῶν οὐρανῶν, εὐ-
φραίνου. ἀλληλούϊα. ὅτι ὃν ἠξίω-
σας βαστάζειν ἀλληλούϊα. ὡς εἶ-
πεν ἐξανέστη. ἀλληλούϊα. εὔχου
ὑπὲρ ἡμῶν τῷ θεῷ. ἀλ-
ληλούϊα.

Τέλος τῆς ἀκολουθίας ἐν τῷ
ὄρθρῳ τῆς μακαρίας καὶ ἀει-
παρθένου μαρίας, τῆς κατὰ τὸ
ἔθος τῆς ῥωμαϊκῆς αὐλῆς.

Ἀρχὴ τῶν ἑπτὰ τῆς μετανοίας ψαλμῶν. αὐ. Μὴ μνησθείης κε. Ψαλμὸς.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. σὺ δὲ κε ἕως πότε. Ἐπίστρεψον κύριε ῥῦσαι τὴν ψυχήν μου. σῶσόν με ἕνεκεν

του ἐλέους σου. ὅτι οὐκ ἔστιν ἐν τῷ
θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ
ᾅδῃ τίς ἐξομολογήσεταί σοι;
Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου·
λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλί-
νην μου· ἐν δάκρυσί μου τὴν στρω-
μνήν μου βρέξω. Ἐταράχθη ἀπὸ
θυμοῦ ὁ ὀφθαλμός μου· ἐπαλαι-
ώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐρ-
γαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσή-
κουσε κύριος τῆς φωνῆς τοῦ κλαυ-
θμοῦ μου· ἤκουσε κύριος τῆς δε-
ήσεώς μου.

ήσεώς μου. κύριος τὴν προσευ-
χήν μου προσεδέξατο. Αἰσχυνθείη-
σαν καὶ ταραχθείησαν πάντες οἱ
ἐχθροί μου. ἀποστραφείησαν καὶ
καταισχυνθείησαν σφόδρα διὰ
τάχους. Δόξα πατρὶ καὶ υἱῷ καὶ
ἁγίῳ πνεύματι. Ὡς ἦν ἐν ἀρχῇ,
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ἀμήν. Ψαλμός.
Μακάριοι ὧν ἀφέθησαν
αἱ ἀνομίαι, καὶ ὧν ἀπεκα-
λύφθησαν αἱ ἁμαρτίαι. Μα-
κάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται

κύριος ἁμαρτίαν. οὐδέ ἐστιν ἐν
τῷ στόματι αὐτοῦ δόλος. Ὅτι ἐσί-
γησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀ-
πὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέ-
ραν. Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβα-
ρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου. ἐστράφην
εἰς ταλαιπωρίαν. ἐν τῷ ἐμπαγῆ-
ναί μοι ἄκανθαν. Τὴν ἀνομίαν
μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν
μου οὐκ ἐκάλυψα. Εἶπα ἐξαγο-
ρεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου,
καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς
καρδίας μου. Ὑπὲρ ταύτης προ-
σεύξεται

σεύξεται πρὸς σὲ πᾶς ὅσιος, ἐν
καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατα-
κλυσμῷ ὑδάτων πολλῶν πρὸς
αὐτὸν οὐκ ἐγγιοῦσι. Σύ μου εἶ κα-
ταφυγὴ ἀπὸ θλίψεως τῆς περιε-
χούσης με. τὸ ἀγαλλίαμά μου.
λύτρωσαί με ἀπὸ τῶν κυκλωσάν-
των με. Συνετιῶ σε ἐν ὁδῷ ταύ-
τῃ, ᾗ πορεύσῃ. ἐπιστηριῶ ἐπὶ σὲ
τοὺς ὀφθαλμούς μου. Μὴ γίνε-
σθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ
ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλι-
νῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις,

τῶ μὴ ἐγγιζόντων πρὸς σέ. Πολ-
λαὶ αἱ μάστιγες ἁμαρτωλοῦ· τὸν
ἐλπίζοντα ἐπὶ κύριον, ἔλεος κυ-
κλώσει. Εὐφράνθητε ἐπὶ κύρι-
ον καὶ ἀγαλλιᾶσθε δίκαιοι. καὶ καυ-
χᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
Δόξα. Καὶ νῦν. Ψαλμός.

Κύριε μὴ τῷ θυμῷ σου ἐ-
λέγξῃς με, μηδὲ τῇ ὀρ-
γῇ σου παιδεύσῃς με. Ὅτι τὰ
βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπε-
στήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.
ἀπὸ

ἀπὸ προσώπου τῆς ὀργῆς σου. οὐκ
ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ
προσώπου τῶν ἁμαρτιῶν μου.
Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν
τὴν κεφαλήν μου. ὡσεὶ φορτίον
βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προ-
σώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές
μου ἀπὸ προσώπου τῆς ἀφροσύνης
μου. Ἐταλαιπώρησα καὶ κατεκάμ-
φθην ἕως τέλους ὅλην τὴν ἡμέραν
σκυθρωπάζων ἐπορευόμην. Ὅτι
αἱ ψύαι μου ἐπλήσθησαν ἐμ-
παιγμάτων. Καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ

σαρκί μου. Ἐκακώθην καὶ ἐτα-
πεινώθην ἕως σφόδρα. ὠρυόμην
ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε
ἐναντίον σου, πᾶσα ἡ ἐπιθυμία μου.
καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπε-
κρύβη. Ἡ καρδία μου ἐταρά-
χθη. ἐγκατέλιπέ με ἡ ἰσχύς μου.
καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ
αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ. Οἱ φίλοι
μου καὶ οἱ πλησίον μου, ἐξεναντίας
μου ἤγγισαν καὶ ἔστησαν. Καὶ οἱ
ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν,
καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν
ψυχήν

ψυχήν μου. Καὶ οἱ ζητοῦντες τὰ
κακά μοι, ἐλάλησαν ματαιότητας.
καὶ δολιότητας ὅλην τὴν ἡμέραν
ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς
οὐκ ἤκουον. καὶ ὡσεὶ ἄλαλος οὐκ
ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγε-
νόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκού-
ων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐ-
τοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοὶ κύ-
ριε ἤλπισα, σὺ εἰσακούσεις κύριε
ὁ θεός μου. Ὅτι εἶπα μήποτε ἐπι-
χαρῶσί μοι οἱ ἐχθροί μου. καὶ ἐν τῷ σα-
λευθῆναι τοὺς πόδας μου ἐπ᾽ ἐμὲ,

ἐμεγαλορρημόνησαν. Ὅτι ἐγὼ
εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγη-
δών μου ἐνώπιόν μου διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγε-
λῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁ-
μαρτίας μου. Οἱ δὲ ἐχθροί μου
ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμέ.
Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με
ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι
κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν
με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θε-
ός μου. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσ-

χες

χες εἰς τὴν βοήθειάν μου Κύριε τῆς
σωτηρίας μου. Δόξα. Καὶ νῦν. Ψαλμ.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ
μέγα ἔλεός σου. Καὶ
κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,
ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ
πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομί-
ας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθά-
ρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ
γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώ-
πιόν μου ἐστὶ διαπαντός. Σοὶ μόνῳ
ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν
σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς

ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς
ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν
ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρ-
τίαις ἐκύσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ
ἄδηλα καὶ τὰ κρύφια τῆς σοφί-
ας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με
ὑσσώπῳ, καὶ καθαρισθήσομαι·
πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκαν-
θήσομαι. Ἀκουτιεῖς με ἀγαλλία-
σιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται
ὀστέα τεταπεινωμένα. Ἀπόστρε-
ψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁ-

μαρτι

μαρτιῶν μου, καὶ πάσας τὰς ἀνο-
μίας μου ἐξάλειψον. Καρδίαν κα-
θαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦ-
μα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγ-
κάτοις μου. Μὴ ἀποστρέψῃς με
ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦ-
μά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀ-
π' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλία-
σιν τοῦ σωτηρίου σου. καὶ πνεύμα-
τι ἡγεμονικῷ στήριξόν με. Διδά-
ξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσε-
βεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί
με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς

σωτηρίας μου· ἀγαλλιάσεται ἡ
γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ
τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνε-
σίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν,
ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ
εὐδοκήσεις. Θυσία τῷ θεῷ πνεῦ-
μα συντετριμμένον· καρδίαν συν-
τετριμμένην καὶ τεταπεινω-
μένην ὁ θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ
σου τὴν σιών· καὶ οἰκοδομηθήτω τὰ
τείχη ἱερουσαλήμ. Τότε εὐδοκή-
σεις

σεις θυσίαν δικαιοσύνης ἀναφο-
ρὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοί-
σουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μό-
σχους. Δόξα Καὶ νῦν. Ψαλμὸς.
Κύριε εἰσάκουσον τῆς προ-
σευχῆς μου· καὶ ἡ κραυγή
μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέ-
ψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, ἐν ᾗ
ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός
με τὸ οὖς σου. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικα-
λέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.
Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡ-
μέραι μου· καὶ τὰ ὀστᾶ μου, ὡσεὶ
φρύγιον συνεφρύγησαν. Ἐπλή-

γην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρ-
δία μου· ὅτι ἐπελαθόμην τοῦ φαγεῖν
τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγ-
μοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρ-
κί μου. Ὡμοιώθην πελεκᾶνι ἐρη-
μικῷ· ἐγενήθην ὡσεὶ νυκτικόραξ
ἐν οἰκοπέδῳ. Ἠγρύπνησα καὶ ἐγε-
νόμην ὡς στρουθίον μονάζον ἐπὶ δώ-
ματος. Ὅλην τὴν ἡμέραν ὠνεί-
διζόν με οἱ ἐχθροί μου· καὶ οἱ ἐπαι-
νοῦντές με κατ' ἐμοῦ ὤμνυον.
Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον·
καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ
ἐκίρ

ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀρ-
γῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπά-
ρας κατέρραξάς με. Αἱ ἡμέραι
μου ὡσεὶ σκιὰ ἐκλίθησαν· κἀ-
γὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ
κύριε εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνη-
μόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σι-
ών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐ-
τήν, ὅτι ἥκει καιρός. Ὅτι εὐδόκη-
σαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς,
καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι.
Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄ-
νομα κυρίου, καὶ πάντες οἱ βασιλεῖς

τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδο-
μήσει κύριος τὴν σιών, καὶ ὀφθή-
σεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλε-
ψεν ἐπὶ τὴν προσευχὴν τῶν τα-
πεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν
δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς
γενεὰν ἑτέραν. καὶ λαὸς ὁ κτιζό-
μενος αἰνέσει τὸν κύριον. Ὅτι
ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ.
κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέ-
βλεψε. Τοῦ ἀκοῦσαι τὸν στεναγ-
μοῦ τῶν πεπεδημένων. τοῦ λῦ-
σαι τοὺς υἱοὺς τῶν τεθανατωμέ-

νων.

νων. Τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὸ ὄνο-
μα κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ
ἐν ἱερουσαλήμ. Ἐν τῷ ἐπισυνα-
χθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασι-
λεῖς τοῦ δουλεύειν τῷ κυρίῳ.
Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος
αὐτοῦ. τὴν ὀλιγότητα τῶν ἡμε-
ρῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀνα-
γάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν
γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρ-
χὰς σὺ κύριε τὴν γῆν ἐθεμελίω-
σας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν
οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται. σὺ

δὲ διαμένεις, καὶ πάντες ὡς ἱμά-
τιον παλαιωθήσονται. Καὶ ὡσεὶ
περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλ-
λαγήσονται. σὺ δέ, ὁ αὐτὸς εἶ, καὶ τὰ
ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοὶ
τῶν δούλων σου κατασκηνώσουσι,
καὶ τὸ σπέρμα αὐτῶν, εἰς τὸν αἰῶ-
να κατευθυνθήσεται. Δόξα πα-
τρί. Καὶ νῦν. Ψαλμός.

ΕΚ βαθέων ἐκέκραξά σοι
κύριε. κύριε εἰσάκουσον τῆς φωνῆς
μου. Γενηθήτω τὰ ὦτά σου προσέ-
χοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

ἐὰν

Ἐὰν ἀνομίας παρατηρήσῃς κύ-
ριε, κύριε τίς ὑποστήσεται; ὅτι
παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν
τοῦ ὀνόματός σου ὑπέμεινά σε κύ-
ριε. ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν
λόγον σου. ἤλπισεν ἡ ψυχή μου ἐπὶ
τὸν κύριον. Ἀπὸ φυλακῆς πρωΐ-
ας μέχρι νυκτός. ἀπὸ φυλακῆς
πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ
τὸν κύριον. Ὅτι παρὰ τῷ κυ-
ρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐ-
τῷ λύτρωσις καὶ αὐτὸς λυτρώ-
σεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνο-

μιῶν αὐτοῦ. Δόξα. Καὶ νῦν.
Κύριε εἰσάκου- Ψαλμός.
σον τῆς προσευχῆς μου· ἐνώ-
τισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ
σου. εἰσάκουσόν μου ἐν τῇ δικαιο-
σύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρί-
σιν μετὰ τοῦ δούλου σου. ὅτι οὐ δι-
καιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυ-
χήν μου. ἐταπείνωσεν εἰς γῆν τὴν
ζωήν μου. Ἐκάθισέ με ἐν σκοτει-
νοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκη-
δίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· ἐν
ἐμοὶ

ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων. ἐμελέ-
τησα ἐν πᾶσι τοῖς ἔργοις σου· ἐν
ποιήμασι τῶν χειρῶν σου ἐμελέ-
των. Διεπέτασα πρὸς σὲ τὰς χεῖ-
ράς μου. ἡ ψυχή μου ὡς γῆ ἄνυ-
δρός σοι. Ταχὺ εἰσάκουσόν μου
κύριε. ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου
ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς
καταβαίνουσιν εἰς λάκκον. Ἀκου-
στὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός
σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρι-
μ

σόν μοι κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι,
ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου.
κύριε πρὸς σὲ κατέφυγον. Δίδα-
ξόν με τοῦ ποιεῖν τὸ θέλημά σου,
ὅτι σὺ εἶ ὁ θεός μου. Τὸ πνεῦμά
σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ
εὐθείᾳ. ἕνεκεν τοῦ ὀνόματός σου
κύριε ζήσεις με. Ἐν τῇ δικαιο-
σύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν
ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξο-
λοθρεύσεις τοὺς ἐχθρούς μου. καὶ ἀπο-
λεῖς πάντας τοὺς θλίβοντας τὴν
ψυχήν μου. ὅτι ἐγὼ δοῦλός σου

εἰμί. Δόξα πατρί. Καὶ νῦν.
Ἀντί. Μὴ μνησικακήσῃς κε τῶν
παραπτωμάτων ἡμῶν, ἢ τῶν γονέων
ἡμῶν. μηδὲ δίκην λάβῃς ἐκ τῶν ἁ-
μαρτιῶν ἡμῶν κύριε ὁ θεὸς ἡμῶν.
Κύριε ἐλέησον.
Χριστὲ ἐλέησον.
Κύριε ἐλέησον.
Χριστὲ ἄκουσον ἡμῶν.
Χριστὲ ἐπάκουσον ἡμῶν.
Πάτερ ὁ ἐκ τῶν οὐρανῶν θεός, ἐλέ-
ησον ἡμᾶς.
Υἱὲ λυτρωτὰ τοῦ κόσμου θεός, ἐ-
λέησον ἡμᾶς.

Πνεῦμα ἅγιον θεός, ἐλέησον ἡμᾶς.
Ἁγία τριὰς εἷς θεός, ἐλέησον ἡμᾶς.
Ἁγία Μαριάμ. πρέσβευε ὑπὲρ ἡμῶν.
Ἁγία θεοτόκε. πρέ.
Ἁγία παρθένε παρθένων. πρέ.
Ἅγιε μιχαήλ. πρέ.
Ἅγιε γαβριήλ. πρέ.
Ἅγιε ῥαφαήλ. πρέ.
Πάντες ἅγιοι ἄγγελοι καὶ ἀρχάγγελοι. πρέ.
Πᾶσαι αἱ ἅγιαι τῶν μακαρίων πνευμάτων τάξεις. πρεσβεύετε ὑπὲρ ἡμῶν.

Ἅγιε ἰωάννη βαπτιστά. πρέ.
Πάντες οἱ ἅγιοι πατριάρχαι καὶ προφῆται, πρεσβεύετε ὑπὲρ ἡμῶν.
Ἅγιε πέτρε. πρέ.
Ἅγιε παῦλε. πρέ.
Ἅγιε ἀνδρέα. πρέ.
Ἅγιε ἰάκωβε. πρέ.
Ἅγιε ἰωάννη. πρέ.
Ἅγιε θωμᾶ. πρέ.
Ἅγιε ἰάκωβε ἀδελφόθεε. πρέ.
Ἅγιε φίλιππε. πρέ.
Ἅγιε βαρθολομαῖε. πρέ.

Ἅγιε ματθαῖε. πρέ.

Ἅγιε σίμων. πρέ.

Ἅγιε θαδδαῖε. πρέ.

Ἅγιε ματθία. πρέ.

Ἅγιε βαρναβᾶ. πρέ.

Ἅγιε λουκᾶ. πρέ.

Ἅγιε Μάρκε. πρέ.

Πάντες οἱ ἅγιοι ἀπόστολοι καὶ εὐαγγελισταὶ, πρεσβεύετε ὑπὲρ ἡμῶν.

Πάντες οἱ ἅγιοι τοῦ κυρίου μαθηταὶ, πρεσβεύετε ὑπὲρ ἡμῶν.

Πάντα τὰ ἅγια καὶ ἀθῶα νήπια, πρεσβεύετε ὑπὲρ ἡμῶν.

Ἅγιε στέφανε. πρέ.

Ἅγιε λαυρέντιε. πρέ.

Ἅγιε μικήντιε. ([illegible]) πρέ.

Ἅγιε φαβιανέ. πρέ.

Ἅγιε σεβαστιανέ. πρέ.

Ἅγιε βλάσιε. πρέ.

Ἅγιοι ἰωάννη καὶ παῦλε. πρέ.

Ἅγιοι κοσμᾶ καὶ δαμιανέ. πρέ.

Ἅγιοι γερβάσιε καὶ προτάσιε. πρέ.

Πάντες οἱ ἅγιοι μάρτυρες. πρέ.

Ἅγιε σίλβεστρε. πρέ.

Ἅγιε γρηγόριε. πρέ.

Ἅγιε Μαρτῖνε. πρέ.

Ἅγιε αὐγουστῖνε. πρέ.

Ἅγιε ἀμβρόσιε. πρε.

Ἅγιε ἱερώνυμε. πρε.

Ἅγιε νικόλαε. πρε.

Ἅγιε λοδόϊκε. πρε.

Ἅγιε ἰουλιανέ. πρε.

Πάντες οἱ ἅγιοι ἀρχιερεῖς καὶ ὁμολογηταί. πρεσβεύετε ὑπὲρ ἡμῶν.

Πάντες οἱ ἅγιοι διδάσκαλοι πρεσβεύετε ὑπὲρ ἡμῶν.

Ἅγιε εὐλογητέ. (Bened.) πρε.

Ἅγιε φραγκίσκε. πρε.

Ἅγιε ἀντώνιε. πρε.

Ἅγιε κυριακέ. πρε.

Πάντες οἱ ἅγιοι μοναχοὶ καὶ ἐρημῖται. πρεσβεύετε ὑπὲρ ἡμῶν.

Πάντες οἱ ἅγιοι ἱερεῖς τε καὶ λευῖται, πρεσβεύετε ὑπὲρ ἡμῶν.

Ἁγία Μαρία μαγδαληνή. πρε.

Ἁγία ἁγνή. πρε.

Ἁγία φωτεινή. (Lucia) πρε.

Ἁγία καικιλία. πρε.

Ἁγία ἀγάθη. πρε.

Ἁγία αἰκατερίνη. πρε.

Ἁγία ἡλαρία. πρε.

Ἁγία ἐλισάβετ. πρε.

Πᾶσαι αἱ ἅγιαι παρθένοι καὶ χῆ-

ραι, πρεσβεύετε ὑπὲρ ἡμῶν.

Ἅγιοι πάντες καὶ πᾶσαι, μεσιτεύσατε ὑπὲρ ἡμῶν.

Ἵλεως ἴσθι. φεῖσαι ἡμῶν κύριε.

Ἵλεως ἴσθι. ἐπάκουσον ἡμῶν κύριε.

Ἀπὸ παντὸς κακοῦ. ῥῦσαι ἡμᾶς κύριε.

Ἀπὸ πάσης ἁμαρτίας, ῥῦσαι ἡμᾶς κύριε.

Ἀπὸ τῆς ὀργῆς σου. ῥῦ.

Ἀπὸ αἰφνιδίου καὶ ἀπροοράτου θανάτου. ῥῦσαι ἡμᾶς κύριε.

Ἀπὸ ἐνέδρας τοῦ διαβόλου. ῥῦ.

Ἀπὸ ὀργῆς καὶ μίσους καὶ πάσης πονηρᾶς προαιρέσεως, ῥῦσαι ἡμᾶς κύριε.

Ἀπὸ πνεύματος πορνείας. ῥῦ.

Ἀπὸ ἀστραπῆς τε καὶ καταιγίδος. ῥῦ.

Ἀπὸ αἰωνίου θανάτου. ῥῦ.

Διὰ τοῦ μυστηρίου τῆς ἁγίας σου σαρκώσεως. ῥῦ.

Διὰ τῆς παρουσίας σου. ῥῦ.

Διὰ τῆς γεννήσεώς σου. ῥῦ.

Διὰ τοῦ βαπτίσματος καὶ τῆς ἁγίας σου νηστείας. ῥῦ.

Διὰ τοῦ σταυροῦ καὶ πάθους σου. ῥῦ.

Διὰ τοῦ θανάτου καὶ τῆς τα-
φῆς σου. ῥῦ.
Διὰ τῆς ἁγίας σου ἀναστάσεως. ῥῦ.
Διὰ τῆς θαυμασίας σου ἀναλή-
ψεως. ῥῦ.
Διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου
πνεύματος παρακλήτου. ῥῦ.
Ἐν ἡμέρᾳ κρίσεως. ῥῦ.
Οἱ ἁμαρτωλοὶ δεόμεθά σου ἄ-
κουσον ἡμῶν.
Ὅπως ἡμῶν φείσῃ. Δεό.
Ὅπως ἡμῖν σπλαγχνισθῇς. δεό.
Ὅπως εἰς τὴν ὄντως μετάνοιαν

ἡμᾶς διαγαγεῖν ἀξιοῖς. δεό.
Ὅπως τὴν ἁγίαν σου ἐκκλησίαν
ἰθύνειν καὶ διαφυλάττειν ἀ-
ξιοῖς. δεό.
Ὅπως τὸν ἀποστολικὸν κύριον
καὶ πάσας τὰς ἐκκλησιαστικὰς
τάξεις ἐν τῇ ἁγίᾳ θρησκείᾳ
διαφυλάττειν ἀξιοῖς. δεό.
Ὅπως τοῖς βασιλεῦσι καὶ χριστια-
νοῖς ἄρχουσιν εἰρήνην καὶ τὴν ὄν-
τως ὁμόνοιαν χαρίσασθαι ἀ-
ξιοῖς. δεό.
Ὅπως ἡμᾶς αὐτοὺς ἐν τῇ ἁγίᾳ

σου θεραπείᾳ ἐν δυνάμει σου καὶ
διαφυλάττειν ἀξιοῖς. δεό.
Ὅπως τὰς διανοίας ἡμῶν πρὸς
τὰς τῶν οὐρανίων ἐπιθυμίας
ἐπαίρῃς. δεό.
Ὅπως πᾶσι τοῖς εὐεργέταις ἡμῶν
αἰώνια ἀγαθὰ ἀνταποδῷς. δεό.
Ὅπως τὰς ψυχὰς ἡμῶν καὶ τὰς
τῶν ἀδελφῶν καὶ οἰκείων καὶ εὐερ-
γετῶν ἡμῶν τῆς αἰωνίου ἀφαρ-
πάσῃς κολάσεως. δεό.
Ὅπως τοὺς καρποὺς τῆς γῆς δοῦ-
ναι καὶ διαφυλάττειν ἀξιοῖς. δεό.

Ὅπως πᾶσι τοῖς πιστῶς κεκοι-
μημένοις ἀνάπαυσιν αἰωνίαν
χαρίσασθαι ἀξιοῖς. δεό.
Ὅπως ἡμῶν ἀξιοῖς ἐπακοῦσαι. δεό.
Υἱὲ θεοῦ. δεό.
Ἀμνὲ τοῦ θεοῦ, ὁ αἴρων τὰς ἁμαρ-
τίας τοῦ κόσμου, φεῖσαι ἡμῶν κε.
Ἀμνὲ τοῦ θεοῦ, ὁ αἴρων τὰς ἁμαρτί-
ας τοῦ κόσμου, ἐπάκουσον ἡμῶν κε.
Ἀμνὲ τοῦ θεοῦ, ὁ αἴρων τὰς ἁμαρ-
τίας τοῦ κόσμου, ἐλέησον ἡμᾶς.
Χριστὲ ἄκουσον ἡμῶν.
Χριστὲ ἐπάκουσον ἡμῶν.

Κύριε ἐλέησον. Χριστὲ ἐλέησον.
Κύριε ἐλέησον. Πάτερ ἡμῶν.
Μυστικῶς ἐκφώνησις. Καὶ μὴ
εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.
Ἀπό. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ
τοῦ πονηροῦ. Ψαλμὸς.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου
πρόσχες, κύριε εἰς τὸ βοη-
θῆσαί μοι σπεῦσον. Αἰσχυνθήτω-
σαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦν-
τες τὴν ψυχήν μου. Ἀποστραφή-
τωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυν-
θήτωσαν οἱ βουλόμενοί μοι κακά.

Ἀποστραφήτωσαν παραυτίκα αἰ-
σχυνόμενοι οἱ λέγοντές μοι εὖγε εὖγε.
Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτω-
σαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές
σε ὁ θεός. καὶ λεγέτωσαν διὰ παν-
τὸς, μεγαλυνθήτω ὁ κύριος. οἱ ἀγα-
πῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ
πτωχός εἰμι καὶ πένης. Ὁ θεός μου
βοήθησόν μοι. βοηθός μου καὶ ῥύστης
μου εἶ σύ, κύριε μὴ χρονίσῃς. Δό-
ξα. Καὶ νῦν. Στί. Σῶσον τοὺς δού-
λους σου. Ἀπ. Ὁ θεός μου τοὺς ἐλ-
πίζοντας ἐπὶ σέ. Στί. Ἔσο ἡμῖν

κύριε πύργος ἰσχυρότητος. Ἀπό.
Ἀπὸ προσώπου τοῦ ἐχθροῦ. Στί.
Μηδὲν προφθανέτω ὁ ἐχθρὸς ἐ-
φ' ἡμῖν. καὶ ὁ υἱὸς τῆς ῥᾳθυμίας μὴ
προστιθέτω βλάπτειν ἡμᾶς. Στί.
Κύριε μὴ κατὰ τὰς ἁμαρτίας
ἡμῶν ποίησον ἡμῖν. Ἀπό. Μηδὲ
κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπό-
δοσ ἡμῖν. Εὐχώμεθα ὑπὲρ τοῦ
ἄκρου ἀρχιερέως ἡμῶν. Στί. Ὁ θεὸς
διαφυλάξαι αὐτὸν μακροημερεύ-
οντα. καὶ ζωοποιήσαι αὐτὸν, καὶ μακα-
ριήσαι αὐτὸν ἐν τῇ γῇ. καὶ μὴ παραδώῃ
αὐτὸν

αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Εὐ-
χώμεθα ὑπὲρ τῶν εὐεργετῶν ἡμῶν. Στί.
Ἀνταποδοῦναι ἀξίωσον κύριε πᾶ-
σι τοῖς δι' ἡμᾶς πεποιηκόσι διὰ
τὸ ὄνομά σου τὸ ἅγιον ζωὴν αἰώνιον.
Ἀμήν. Εὐχώμεθα ὑπὲρ τῶν πι-
στῶς κεκοιμημένων. Στί. Ἀνά-
παυσιν αἰωνίαν δώρησον αὐτοῖς
κύριε. Ἀπό. Καὶ φῶς αἰώνιον
φεγγέτω αὐτοῖς. Στί. Ἀναπαυέ-
σθωσαν ἐν εἰρήνῃ. Ἀπό. Ἀμήν.
Ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν μα-
κρὰν ἀπόντων. Στί. Σῶους ποί-

σον τοὺς δούλους σου. Ἀπ. Ὁ θεός μου
τοὺς ἐλπίζοντας ἐπὶ σέ. Στ. Πέμ-
ψον αὐτοῖς βοήθειαν ἐκ τοῦ ἁγίου,
Ἀπ. Καὶ ἐκ τῆς Σιὼν ἐπίβλε-
ψον αὐτούς. Στ. Κύριε εἰσάκου-
σον τῆς προσευχῆς μου. Ἀπ. Καὶ
ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.

Ὁ Θεὸς οὗ τὸ ἐλεεῖν **Εὐχή.**
ἀεὶ καὶ φείδεσθαι, πρόσδε-
ξαι τὴν δέησιν ἡμῶν, ὅπως ἡμᾶς
καὶ πάντας τοὺς δούλους σου, οὓς
ἡ τῶν παραπτωμάτων συνείργει
σειρά, τὸ ἔλεος τῆς εὐσπλαγχνί-

ας σου ἀπολύσῃ. **Εὐχή.**

Εἰσάκουσον ἀντιβολοῦμεν
κύριε τῶν ἱκετῶν τὰς
δεήσεις. καὶ ταῖς τῶν ἐξομολο-
γουμένων σοι ἁμαρτίαις ἱλάσθη-
τι. ὡς ἅμα ἡμῖν συγχώρησιν εὐμε-
νῶς καὶ εἰρήνην παράσχῃς. **Εὐχή.**

Τὸ ἄφατον ἡμῖν ἔλεός σου
κύριε πρευμενῶς ἐπίδει-
ξον. ὅπως ἡμᾶς καὶ πασῶν ἁμαρ-
τιῶν ἀποδύσῃς, καὶ ἧς τυχεῖν διὰ
ταύτας κολάσεως γεγόναμεν ἄ-
ξιοι, ἀφαρπάσῃς. **Εὐχή.**

Ο Θεὸς ὁ τῇ μὲν ἁμαρτίᾳ
λυμαινόμενος, τῇ δὲ με-
τανοίᾳ ἱλασκόμενος, τὰς δεή-
σεις τοῦ ἱκετεύοντός σε λαοῦ ἐπί-
βλεψον, καὶ τὰς μάστιγας τῆς ὀρ-
γῆς σου, ἃς διὰ τὰς ἡμῶν ἁμαρ-
τίας ἄξιοι γεγόναμεν, ἀπόστρεψον.

Ευχή.

Π Αντοκράτορ αἴ-
διε θεέ, ἐλέησον τὸν θερά-
ποντά σου ἄκρον ἀρχιερέα ἡμῶν Παῦλον
ἀλέξανδρον, καὶ κατεύθυνον αὐτὸν
κατὰ τὴν εὐσπλαγχνίαν σου,
εἰς ὁδὸν αἰωνίου σωτηρίας, ὅπως

σοῦ γε δωρουμένου τὰ εὐαρεστοῦντα
σοι προαιρῆται, καὶ πάσῃ γε ἀρε-
τῇ τελεσιουργήσῃ.

Ευχή.

Ο Θεὸς ἐξ οὗ αἱ ἅγιαι ἐπι-
θυμίαι, αἱ ὀρθαὶ βουλαί, καὶ αἱ δί-
καιαι ὑπάρχουσι πράξεις· παρά-
σχου τοῖς δούλοις σου, ἣν ὁ κόσμος
εἰρήνην οὐ δύναται δοῦναι, ὅπως καὶ αἱ
καρδίαι ἡμῶν ταῖς ἐντολαῖς σου
προσκέωνται, καὶ τοῦ φόβου
τῶν πολεμίων ἀποβληθέντος
οἱ χρόνοι τῇ σῇ σκέπῃ γαληνι-
ῶσι.

Ευχή.

Ἐπίκαιε τῇ τοῦ ἁγίου σου πνεύματος φλογὶ τούς τε νεφροὺς ἡμῶν καὶ τὰς καρδίας κύριε· ὡς ἂν σοι καὶ σκήνει σώφρονι λειτουργῶμεν· καὶ καθαρᾷ καρδίᾳ εὐαρεστῶμεν. Εὐχή.

Ταῖς τῶν πιστῶν ὁ πάντων κτίστης καὶ λυτρωτὴς θεὸς θεραπόντων καὶ θεραπαινῶν ψυχαῖς ἄφεσιν τῶν ἁμαρτημάτων παράσχου· ὅπως ἣς ἀεὶ οἰκτραῖς δεήσεσιν ἐπεθύμησαν, τῆς σῆς ἐπιτύχωσιν εὐσπλαγχνίας. Εὐχή.

Τὰς πράξεις ἡμῶν δεόμεθα κύριε ἐπιπνέων πρόφθασον, καὶ συλλαμβάνων μὴ παύσῃς· ὅπως ὅλη ἡ δέησις καὶ πρᾶξις ἡμῶν ἐκ σοῦ τε ἀεὶ κατάρχηται, καὶ καταρχθεῖσα ἐν σοὶ ἀποπαύηται.

Παντοκράτορ αἰώνιε θεέ, ὁ ζώντων ἅμα καὶ μεταστάντων κυριεύων· πάντας τε ἐλεῶν, οὓς γε πίστει καὶ ἔργῳ σοὺς ἐσομένους προγινώσκεις, σὲ ἱκετικῶς δυσωποῦμεν, ὡς ὑπὲρ ὧν λιτὰς ἐκχέειν διέγνωμεν, Εὐχή.

οἱ εἴτε ὑπὸ τοῦ παρόντος αἰῶνος τῇ σαρκὶ κατεχόμενοι, εἴτε ὑπὸ τοῦ μέλλοντος ἤδη μετὰ τὸ τοῦ σκήνους ἀπογυμνωθῆναι ὑποδεχθέντες, μεσιτευόντων πάντων σου τῶν ἁγίων τῇ τῆς εὐσπλαγχνίας σου ἐπιεικείᾳ πάντων τῶν ἰδίων παραπτωμάτων συγγνώμην ἀποκτήσωνται. διὰ τοῦ κυρίου.

Στίχ. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου. Ἀπ. Καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Στίχ. Εὐλογῶμεν τῷ κυρίῳ. Ἀπ. Τῷ θεῷ χάριτας.

ριτας. Στίχ. Αἱ τῶν πιστῶν ψυχαὶ διὰ τοῦ θεοῦ ἐλέους ἀναπαυέσθωσαν ἐν εἰρήνῃ. Ἀπ. Ἀμήν.

Τέλος τῶν ἑπτὰ τῆς μετανοίας ψαλμῶν, πρὸς δὲ καὶ λιτανιῶν, καί τινων ψυχωφελῶν τοῖς μετιοῦσιν εὐχῶν.

Σύμβολον τοῦ ἁγίου Ἀθανασίου.

Ὅστις βούληται σωθῆ-
ναι, πρὸ πάντων χρὴ
κρατεῖν τὴν καθολι-
κὴν πίστιν. Ἣν εἰ μὴ εἷς ἕκαστος
σώαν καὶ ἀμώμητον τηρήσῃ, ἄνευ
δισταγμοῦ, εἰς τὸν αἰῶνα ἀπολεῖ-
ται. Πίστις δὲ ἡ καθολικὴ αὕτη
ἐστίν. ἵνα ἕνα θεὸν ἐν τριάδι καὶ τρι-
άδα ἐν μονάδι σεβώμεθα. Μή-
τε συγχέοντες τὰς ὑποστάσεις, μή-
τε τὴν οὐσίαν μερίζοντες. Ἄλλη
γάρ ἐστιν ἡ ὑπόστασις τοῦ πατρός.
ἄλλη τοῦ υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύ-

ματος. Ἀλλὰ πατρὸς καὶ υἱοῦ καὶ
ἁγίου πνεύματος μία ἐστὶν ἡ θεό-
της. ἴση ἡ δόξα. συναΐδιος ἡ μεγα-
λειότης. Οἷος ὁ πατήρ, τοιοῦ-
τος ὁ υἱός. τοιοῦτον καὶ τὸ ἅγιον
πνεῦμα. Ἄκτιστος ὁ πατὴρ ἄκτι-
στος ὁ υἱός. ἄκτιστον καὶ τὸ πνεῦμα
τὸ ἅγιον. Ἀκατάληπτος ὁ πα-
τήρ, ἀκατάληπτος ὁ υἱός. ἀκα-
τάληπτον καὶ τὸ πνεῦμα τὸ ἅγιον.
Αἰώνιος ὁ πατήρ, αἰώνιος ὁ
υἱός. αἰώνιον καὶ τὸ πνεῦμα τὸ ἅγι-
ον. Πλὴν οὐ τρεῖς αἰώνιοι, ἀλλ' εἷς

αἰώνιος. Ὥσπερ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι· ἀλλ᾽ εἷς ἄκτιστος· καὶ εἷς ἀκατάληπτος. Ὁμοίως, παντοδύναμος ὁ πατήρ· παντοδύναμος καὶ ὁ υἱὸς παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον. Πλὴν οὐ τρεῖς παντοδύναμοι, ἀλλ᾽ εἷς παντοδύναμος. Οὕτω θεὸς ὁ πατήρ. θεὸς ὁ υἱός. θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. Πλὴν οὐ τρεῖς θεοί, ἀλλ᾽ εἷς θεός. Ὁμοίως κύριος ὁ πατήρ. κύριος ὁ υἱός. κύριον καὶ τὸ πνεῦμα τὸ ἅγιον·

πλὴν

πλὴν οὐ τρεῖς κύριοι· ἀλλ᾽ εἷς ἐστι κς̄. Ὅτι ὡς ἰδίαν μίαν· ἕκαστον ὑπόστασιν θεὸν καὶ κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα, Οὕτω τρεῖς θεοὺς ἢ τρεῖς κυρίους λέγειν τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα. Ὁ πατὴρ ἀπ᾽ οὐδενός ἐστι ποιητός. οὔτε μὴν κτιστὸς οὐδὲ γεννητός. Ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς μόνου ἐστίν. οὐ ποιητός. οὐ κτιστός. ἀλλὰ γεννητός.

Τὸ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. οὐ ποιητὸν οὐ κτι-

τον ἀλλ᾽ ἐκπορευτόν. Εἷς οὖν πα-
τὴρ οὐ τρεῖς πατέρες, εἷς υἱός, οὐ
τρεῖς υἱοί. ἓν πνεῦμα ἅγιον οὐ τρία
πνεύματα ἅγια. Καὶ ἐν ταύτῃ τῇ
τριάδι οὐδὲν πρότερον ἢ ὕστερον
οὐδὲν μεῖζον ἢ ἔλαττον, ἀλλ᾽ ὅλαι
αἱ τρεῖς ὑποστάσεις καὶ συναΐδιαι
εἰσὶν ἑαυταῖς καὶ ἴσαι. ὥστε κα-
τὰ πάντα καθὼς εἴρηται, καὶ τὴν
μονάδα ἐν τριάδι σέβεσθαι δεῖ.
καὶ τὴν τριάδα ἐν μονάδι. Ὁ γοῦν
βουλόμενος σωθῆναι οὕτω περὶ
τριάδος φρονείτω. Πλὴν, ἀναγ-

καῖον

καῖόν ἐστι, πρὸς αἰώνιον σωτηρίαν ὅπως
καὶ τὴν ἐνσάρκωσιν τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ ἔτι ὀρθῶς πιστεύσῃ.
Ἔστι γὰρ πίστις ὀρθή, ἵνα πιστεύωμεν
καὶ ὁμολογῶμεν, ὅτι ὁ κύριος
ἡμῶν ἰησοῦς χριστὸς ὁ υἱὸς τοῦ θε-
οῦ, θεὸς καὶ ἄνθρωπός ἐστι. Θεὸς
ἐκ τῆς οὐσίας τοῦ πατρὸς πρὸ αἰώ-
νων γεννηθείς. καὶ ἄνθρωπος ἐκ τῆς
οὐσίας τῆς μητρὸς ἐν τῷ αἰῶνι τε-
χθείς. Τέλειος θεός, καὶ τέλειος ἄν-
θρωπος. ἐκ ψυχῆς λογικῆς καὶ
ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος

Ἴσος τῷ πατρὶ κατὰ τὴν θεότη-
τα, ἐλάττων τοῦ πατρὸς κατὰ
τὴν ἀνθρωπότητα. Ὃς εἰ καὶ θε-
ὸς καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως
ἀλλ᾽ εἷς ἐστι χριστός. Εἷς δέ, οὐ τρο-
πῇ τῆς θεότητος εἰς σάρκα, ἀλλὰ
προσλήψει τῆς ἀνθρωπότητος εἰς θε-
όν. Εἷς πάντως οὐ συγχύσει τῆς οὐ-
σίας, ἀλλ᾽ ἑνότητι τῆς ὑποστάσεως.
Καὶ γὰρ ὡς ψυχὴ λογικὴ καὶ ἡ
σάρξ, εἷς ἐστιν ἄνθρωπος, οὕτω καὶ ὁ
θεάνθρωπος εἷς ἐστι χριστός. Ὃς ἔ-
παθε διὰ τὴν σωτηρίαν ἡμῶν.

κα

κατῆλθεν ἐν ᾅδου. Ἀνέστη τῇ
τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν.
Ἀνῆλθεν εἰς οὐρανούς. κάθηται
ἐκ δεξιῶν τοῦ πατρὸς θεοῦ παν-
τοκράτορος. Ὅθεν ἥξει κρίναι
ζῶντας καὶ νεκρούς. Οὗ τῇ πα-
ρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀνα-
στήσονται μετὰ τῶν σωμάτων αὐ-
τῶν. καὶ ἀποδώσουσιν ἐξ ἰδίων
ἔργων τὴν ἀπολογίαν. Καὶ οἱ
μὲν τὰ ἀγαθὰ πράξαντες, πορεύ-
σονται εἰς ζωὴν αἰώνιον. οἱ δὲ τὰ
φαῦλα εἰς τὸ πῦρ τὸ αἰώνιον.

ξ ii

Αὕτη ἐστὶν ἡ καθολικὴ πίστις· ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται. Δόξα. Καὶ νῦν.

Εἰς τὴν λειτουργίαν τῆς ὑπεραγίας καὶ ἀειπαρθένου μαρίας.

Εἰσοδικόν.

Αἶρ' ἱερὴ γενέτειρα τεκοῦσα λεχὼ βασιλῆα.

Ὃς γῆ πόλον χθόνα τ' ἰθύνει δι' αἰῶνας ἀπείρους. **Προκείμενον.**

Παρθένε θεοτόκεια τὸν ἐξ ὕμνους

χαίρει κόσμος. **Εἰς** πεαὶ κληιάθη σπλάγχνα βροτοῖσα μῶρος. Δόξα. Καὶ νῦν. Χαῖρ' ἱερὴ **καὶ τὰ ἑξῆς.**

Εὐχή.

Συγχώρησον ἡμῖν τοῖς θεράπουσί σου δεόμεθα κύριε ὁ θεὸς διηνεκεῖ μέντε καὶ σώματος ὑγείᾳ εὐθυμεῖν. καὶ τῇ ἐνδόξῳ τῆς μακαρίας ἀειπαρθένου μαρίας μεσιτείᾳ ἀπὸ τῆς ἐνεστώσης ἀθυμίας ῥυσθῆναι καὶ τῆς αἰωνίου εὐφροσύνης ἐπαπολαύειν. Διὰ τὸν κύριον. **Ἀνάγνωσις ἐκ τοῦ βιβλίου τῆς σοφίας.**

Ρὸ τοῦ αἰῶνος ἀπαρχῆς
ἔκτισέ με· καὶ ἕως αἰῶνος
οὐ μὴ ἐκλίπω· ἐν σκηνῇ ἁγίᾳ ἐνώ
πιον αὐτοῦ ἐλειτούργησα. Καὶ
οὕτως ἐν σιὼν ἐστηρίχθην ἐν πό-
λει ἠγαπημένῃ ὁμοίως με κατέ-
παυσε· καὶ ἐν ἱερουσαλὴμ ἡ ἐξου
σία μου· καὶ ἐρρίζωσα ἐν λαῷ δε
δοξασμένῳ ἐν μερίδι κυρίου κλη
ρονομίας αὐτοῦ. καὶ ἐν τῷ πλη
ρώματι τῶν ἁγίων ἡ κατοχή μου.
Τῷ θεῷ χάριτας. Αναβαθμι-
κόν· Ευλογημένη καὶ σεβασμία ὑ-
πάρχεις παρθένε μαρία. ἡ ἐπι-
φαύσῃ κορεία εὑρεθεῖσα μήτηρ
τοῦ σωτῆρος. Στί. Παρθένε θεο
τόκεια τὸν ἐξύμπασχάδε κόσμος
εἰς τὰ κλησίαθη σπλάγχνα βρο
τωσάμενος. ἀλληλούια. Η τοῦ
ἰεσσαὶ ῥάβδος ἐξήνθησεν. ἡ παρ
θένος θεὸν καὶ ἄνθρωπον τέτοκεν.
εἰρήνην ὁ θεὸς ἀπέδωκεν ἐν ἑαυ-
τῷ διαλλάξας τὰ κάτω τοῖς ἄνω.
ἀλληλούϊα. Τὰ ἐφεξῆς τοῦ κα
τὰ λουκᾶν ἁγίου εὐαγγελίου. Δό-
ξα σοι κύριε.
Ὦ ἐν καιρῷ ἐκείνῳ, ἐπα-

ρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπε τῷ ἰησοῦ. μακαρία ἡ κοιλία ἡ βαστάσασά σε. Καὶ μαστοὶ οὓς ἐθήλασας. αὐτὸς δὲ εἶπε. μενοῦνγε. μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ θεοῦ καὶ φυλάσσοντες αὐτόν.

Προσφορά.

Χαῖρε κεχαριτωμένη μαρία. ὁ κύριος μετὰ σοῦ. εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Ἅγιος. ἅγιος. ἅγιος κύριος ὁ θεὸς σαβαώθ. πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Στί. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Ἀμνὲ τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ἐλέησον ἡμᾶς. Ἀμνὲ τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς. Ἀμνὲ τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, χάρισαι ἡμῖν εἰρήνην. Μετὰ τὴν μετάληψιν. Ὄλβια τὰ τῆς ἀειπαρθένου μαρίας σπλάγχνα. τὰ βαστάσαντα τὸν τοῦ αἰωνίου πατρὸς υἱόν. Εὐχή.

Προσληφθέντων κύριε τῶν

τῆς ἡμετέρας σωτηρίας βοηθη-
μάτων, παράσχου δεόμεθα τοὺς
ἐπικουρίας τῆς μακαρίας καὶ
ἀειπαρθένου μαρίας, ἃ πανταχοῦ
σκέπεθ' ἡμᾶς, τῇ πρὸς ἣν εὐλα-
βείᾳ, ταύτῃ τῇ σῇ προσαγομένῃ με-
γαλοσύνῃ. διὰ τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ, ὃς ζῇ μετὰ σοῦ καὶ
βασιλεύει θεὸς ἐν ἑνότητι τοῦ ἁγίου
πνεύματος. εἰς πάντας τοὺς αἰῶ-
νας τῶν αἰώνων. Ἀπό. Ἀμήν.
Στί. Κύριε εἰσάκουσον τῆς προ-
σευχῆς μου. Ἀπ. Καὶ ἡ κραυγή μου
πρός σε ἐλθέτω. Στί. Ἀπιτε ἀπε-

σταλὴ γάρ. Ἀπ. Τῷ θεῷ χάριτας.

Εὐχὴ εἰς τὴν ὑπεραγίαν θεοτόκον.

Ἄσπιλε. ἀμόλυντε. ἄφθο-
ρε, ἄχραντε. ἁγνὴ παρθέ-
νε. θεόνυμφε δέσποινα. Ἡ θεοῦ λό-
γου τοῖς ἀνθρώποις τῇ παραδό-
ξῳ σου κυήσει ἑνώσασα. Καὶ τὴν
ἀποστᾶσαν φύσιν τοῦ γένους ἡ-
μῶν τοῖς οὐρανίοις συνάψασα.
Ἡ τῶν ἀπηλπισμένων μόνη ἐλ-
πὶς καὶ τῶν πολεμουμένων βοή-
θεια. Ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς
σὲ προσφευγόντων καὶ πάντων τῶν
χριστιανῶν τὸ καταφύγιον, μὴ

βδελύξῃ με τὸν ἁμαρτωλόν. Τὸν
ἕνα τῆ. Τὸν ἐν αἰσχροῖς λογισμοῖς καὶ
ἔργοις καὶ λόγοις καὶ πράξεσιν, ὅ-
λον ἐμαυτὸν ἀχρειώσαντα. Καὶ
τῇ τῶν ἡδονῶν ῥαθυμίᾳ, γνώμῃ
δοῦλον γενόμενον. Ἀλλ' ὦ τοῦ φι-
λανθρώπου θεοῦ μου μήτηρ, φι-
λανθρώπως σπλαγχνίσθητι ἐπ' ἐ-
μοὶ τῷ ἁμαρτωλῷ. καὶ δέξαι μου
τὴν ἐκ ῥυπαρῶν χειλέων προσ-
φερομένην σοι δέησιν. Καὶ τὸν
σὸν μὲν υἱόν, ἐμὸν δὲ δεσπότην καὶ
κύριον τῇ μητρικῇ σου παρρη-
σίᾳ χρωμένη δυσώπησον, ἵνα ἀ-

νοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα
σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος.
Καὶ παριδών μου τὰ ἀναρίθμη-
τα πταίσματα ἐπιστρέψῃ με πρὸς
μετάνοιαν. καὶ τῶν αὐτοῦ ἐντολῶν
ἐργάτην δόκιμον ἀναδείξῃ με.
Καὶ πάρεσό μοι ἀεὶ ἐλεήμων καὶ
συμπαθὴς καὶ φιλάγαθος. ἐν μὲν
τῷ παρόντι βίῳ θερμὴ προστά-
τις καὶ βοηθός, τὰς τῶν ἐναντίων ἐ-
φόδους ἀποτειχίζουσα καὶ πρὸς
σωτηρίαν καθοδηγοῦσά με. Καὶ
ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν
ἀθλίαν μου ψυχὴν περιέπουσα.

καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονη-
ρῶν δαιμόνων πόῤῥω αὐτῆς ἀπε-
λαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέ-
ρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με-
ῥυομένη κολάσεως· Καὶ τῆς ἀπρο-
σίτου δόξης τοῦ σοῦ υἱοῦ καὶ θεοῦ κλη-
ρονόμον με ἀποδεικνύουσα. ἧς
τύχοιμι δέσποινά μου ὑπεραγία
θεοτόκε διὰ τῆς σῆς μεσιτείας
καὶ ἀντιλήψεως· χάριτι καὶ οἰκτιρμοῖς
καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς
σου υἱοῦ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆ-
ρος ἡμῶν ἰησοῦ χριστοῦ· ᾧ πρέπει
πᾶσα δόξα τιμὴ καὶ προσκύνησις

σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ
παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύ-
ματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
ἀμήν. Θεῷ δόξα.

ΤΕΛΟΣ.

Ἐνετίῃσιν ἐτυπώθη παρὰ ἄλδῳ. οὐκ
ἄνευ μέντοι προνομίου. χιλιοστῷ
τετρακοσιοστῷ ἐννενηκοστῷ ἑβδόμῳ
ἀπὸ τῆς θεογονίας ἔτει. μηνὸς πο-
σειδεῶνος πέμπτῃ ἱσταμένου. ἐπὶ
ἄρχοντος Αὐγουστίνου Βαρβαδίκου
τὴν βασιλίδα τῶν πόλεων ταύτην
εὐτυχῶς ἡνιοχοῦντος.

